# *[[rough draft—not to be quoted or cited]]*[1]

## ΕΥΑΓΓΕΛΙΟΝ
## ΚΑΤΑ ΛΟΥΚΑΝ[2]

*[Dedicatory]*

**1.1** Επειδηπερ πολλοι επεχειρησαν ανταξασθαι διηγησιν περι των πεπληροφορημενων εν
ἡμιν πραγματων, 2 καθως παρεδοσαν ἡμιν οἱ απ' αρχης αυτοπται και ὑπηρεται γενομενοι
του λογου, 3 εδοξεν καμοι, παρηκολουθηκοτι Ανωθεν πασιν, ακριβως καθεξης σοι γραψαι,
κρατιστε Θεοφιλε, 4 ἱνα επιγνως περι ὡν κατηχηθης λογων την ασφαλειαν.

[The birth of John the baptizer foretold]

**1.5** Εγενετο εν ταις ἡμεραις Ἡρωδου του[3] βασιλεως της Ιουδαιας ἱερευς τις ονοματι
Ζαχαριας εξ εφημεριας Αβια· και ἡ γυνη αυτου[4] εκ των θυγατερων Ααρων, και το ονομα
αυτης Ελισαβετ. 6 Ησαν δε δικαιοι αμφοτεροι ενωπιον[5] του Θεου, πορευομενοι εν πασαις
ταις εντολαις και δικαιωμασιν του Κυριου αμεμπτοι. 7 Και ουκ ἦν αυτοις τεκνον, καθοτι
ἡ Ελισαβετ ἦν[6] στειρα, και αμφοτεροι προβεβηκοτες εν ταις ἡμεραις αυτων ησαν.

*[The setting]*

**8** Εγενετο δε εν τω ἱερατευειν αυτον εν τη ταξει της εφημεριας αυτου εναντι[7] του
Θεου, 9 κατα το εθος της ἱερατειας, ελαχεν του θυμιασαι εισελθων εις τον ναον του
Κυριου· 10 και παν το πληθος του λαου ἦν[8] προσευχομενον εξω τη ὡρα του θυμιαματος.
11 Ωφθη δε αυτω αγγελος Κυριου ἑστως εκ δεξιων του θυσιαστηριου του θυμιαματος·
12 και εταραχθη Ζαχαριας ιδων, και φοβος επεπεσεν επ' αυτον.

*[Gabriel delivers]*

**13** Ειπεν δε προς αυτον ὁ αγγελος: "Μη φοβου, Ζαχαρια, διοτι εισηκουσθη ἡ δεησις
σου, και ἡ γυνη σου Ελισαβετ γεννησει υἱον σοι, και καλεσεις το ονομα αυτου Ιωαννην.
14 Και εσται χαρα σοι και αγαλλιασις, και πολλοι επι τη γεννησει[9] αυτου χαρησονται·
15 εσται γαρ μεγας ενωπιον του[10] Κυριου, και οινον και σικερα ου μη πιη, και Πνευματος
Ἁγιου πλησθησεται ετι εκ κοιλιας μητρος αυτου. 16 Και πολλους των υἱων Ισραηλ
επιστρεψει επι Κυριον τον Θεον αυτων· 17 και αυτος προελευσεται ενωπιον Αυτου εν
πνευματι και δυναμει Ηλιου, επιστρεψαι καρδιας πατερων επι τεκνα, και απειθεις εν
φρονησει δικαιων, ἑτοιμασαι Κυριω λαον κατεσκευασμενον."

*[Zacharias doubts]*

**18** Και ειπεν Ζαχαριας προς τον αγγελον: "Κατα τί γνωσομαι τουτο? Εγω γαρ ειμι
πρεσβυτης και ἡ γυνη μου προβεβηκυια εν ταις ἡμεραις αυτης." 19 Και αποκριθεις ὁ
αγγελος ειπεν αυτω: "Εγω ειμι Γαβριηλ ὁ παρεστηκως ενωπιον του Θεου, και απεσταλην
λαλησαι προς σε και ευαγγελισασθαι σοι ταυτα. 20 Και ιδου, εση σιωπων και μη δυναμενος
λαλησαι αχρι ἧς ἡμερας γενηται ταυτα, ανθ' ὡν ουκ επιστευσας τοις λογοις μου, οἱτινες
πληρωθησονται εις τον καιρον αυτων."

*[Zacharias punished]*

---

[1] The first eight pages are in near final draft.

[2] Both the text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD.

[3] του **f[35]** A,C,D [99%] CP,RP,HF,TR || --- ℵB,W [1%] NU

[4] η γυνη αυτου **f[35]** A [98.6%] CP,RP,HF,TR || γυνη αυτω ℵB,C,D,W [1.4%] NU

[5] ενωπιον **f[35]** A,D,W [99.4%] CP,RP,HF,TR || εναντιον ℵB,C [0.6%] NU

[6] η ελισαβετ ην **f[35]** A,C [92.9%] CP,RP,HF,TR || ~ 312 ℵD [2.3%] NU || 23 [4.4%] || ~ 32 B,W [0.4%]

[7] εναντι **f[35]** B,D,W [80%] CP,RP,HF,TR,NU || εναντιον ℵA,C [20%]

[8] του λαου ην **f[35]** A,C,D [45%] CP,TR || ~ 312 ℵB,W [55%] RP,HF,NU (The verb works with the participle in a periphrastic construction; the reading of A,C,D is the more natural, by far.)

[9] γεννησει **f[35]** [70%] CP,RP,HF,TR || γενεσει ℵA,B,C,D,W [30%] NU

[10] του **f[35]** B,D,W [80%] CP,RP,HF,TR[NU] || --- ℵA,C [20%]

**21** Και ἦν ὁ λαος προσδοκων τον Ζαχαριαν, και εθαυμαζον εν τω χρονιζειν αυτον εν τω ναω.[1] 22 Εξελθων δε ουκ ηδυνατο[2] λαλησαι αυτοις, και επεγνωσαν ὁτι οπτασιαν ἑωρακεν εν τω ναω· και αυτος ἦν διανευων αυτοις, και διεμενεν κωφος. 23 Και εγενετο ὡς επλησθησαν αἱ ἡμεραι της λειτουργιας αυτου απηλθεν εις τον οικον αυτου.

**24** Μετα δε ταυτας τας ἡμερας συνελαβεν Ελισαβετ ἡ γυνη αυτου, και περιεκρυβεν ἑαυτην μηνας πεντε λεγουσα 25 ὁτι “Οὑτως μοι πεποιηκεν ὁ[3] Κυριος εν ἡμεραις αἷς επειδεν αφελειν το[4] ονειδος μου εν ανθρωποις.”

[The birth of Jesus foretold—5 BC]

**1.26** Εν δε τω μηνι τω ἑκτω απεσταλη ὁ αγγελος Γαβριηλ ὑπο[5] του Θεου εις πολιν της Γαλιλαιας ᾑ ονομα Ναζαρετ,[6] 27 προς παρθενον μεμνηστευμενην[7] ανδρι ᾡ ονομα Ιωσηφ εξ οικου[8] Δαυιδ· και το ονομα της παρθενου Μαριαμ. 28 Και εισελθων ὁ αγγελος προς αυτην[9] ειπεν, “Χαιρε, κεχαριτωμενη, ὁ Κυριος μετα σου, ευλογημενη συ εν γυναιξιν!”[10] 29 Ἡ δε ιδουσα[11] διεταραχθη επι τω λογω[12] αυτου,[13] και διελογιζετο ποταπος ειη ὁ ασπασμος οὑτος.

*[Gabriel delivers]*

**30** Και ειπεν ὁ αγγελος αυτη: “Μη φοβου, Μαριαμ, εὑρες γαρ χαριν παρα τω Θεω. 31 Και ιδου, συλληψη[14] εν γαστρι και τεξη Υἱον, και καλεσεις το ονομα αυτου Ιησουν. 32 Οὑτος εσται μεγας και Υἱος Ὑψιστου κληθησεται· και δωσει αυτω Κυριος ὁ Θεος τον θρονον Δαυιδ του πατρος αυτου· 33 και βασιλευσει επι τον οικον Ιακωβ εις τους αιωνας, και της βασιλειας αυτου ουκ εσται τελος.”

*[Mary agrees]*

**34** Ειπεν δε Μαριαμ προς τον αγγελον, “Πως εσται[15] τουτο, επει ανδρα ου γινωσκω?” 35 Και αποκριθεις ὁ αγγελος ειπεν αυτη: “Πνευμα Ἁγιον επελευσεται επι σε, και δυναμις Ὑψιστου επισκιασει σοι· διο και το γεννωμενον Ἁγιον κληθησεται Υἱος Θεου. 36 Και ιδου, Ελισαβετ ἡ συγγενης[16] σου και αυτη συνειληφυια[17] υἱον εν γηρει[18] αυτης, και οὑτος μην ἑκτος εστιν αυτη τη καλουμενη στειρα· 37 ὁτι ουκ αδυνατησει παρα τω Θεω[19] παν ῥημα.” 38 Ειπεν δε Μαριαμ, “Ιδου ἡ δουλη Κυριου· γενοιτο μοι κατα το ῥημα σου.” Και απηλθεν απ’ αυτης ὁ αγγελος.

*[Mary visits Elizabeth]*

**39** Αναστασα δε[20] Μαριαμ εν ταις ἡμεραις ταυταις επορευθη εις την ορεινην μετα σπουδης εις πολιν Ιουδα, 40 και εισηλθεν εις τον οικον Ζαχαριου και ησπασατο την

---

[1] αυτον εν τω ναω **f**$^{35}$ ℵA,C,D [96.6%] CP,RP,HF,TR || ~ 2341 B,W [1%] NU || 1 [2.4%]

[2] ηδυνατο **f**$^{35}$ C,D,W [93%] CP,RP,HF,TR || εδυνατο ℵA,B [7%] NU (Attic or Koine?)

[3] ο **f**$^{35}$ A,B [99.3%] CP,RP,HF,TR || --- ℵC,D,W [0.7%] NU

[4] το **f**$^{35}$ A,C [98.8%] CP,RP,HF,TR || --- ℵB,D,W [1.2%] NU

[5] υπο **f**$^{35}$ A,C,D [98.4%] CP,RP,HF,TR || απο ℵB,W [1.6%] NU

[6] ναζαρετ **f**$^{35}$ ℵB,D,W [69%] CP,RP,HF,TR || ναζαρεθ (C) [29.5%] NU || ναζαραθ A [1.5%]

[7] μεμνηστευμενην **f**$^{35}$ C [99.6%] CP,RP,HF,TR || εμνηστευμενην ℵA,B,W [0.3%] NU || μεμνησμενην D [alone]

[8] οικου **f**$^{35}$ A,B,D,W [88%] CP,RP,HF,TR,NU || οικου και πατριας ℵC [12%]

[9] ο αγγελος προς αυτην **f**$^{35}$ A,C,D [97.8%] CP,RP,HF,TR || 34 B,W [1.2%] NU || ~ 3412 ℵ [1%]

[10] ευλογημενη συ εν γυναιξιν **f**$^{35}$ A,C,D [98.6%] CP,RP,HF,TR || --- ℵB,W [1.4%] NU

[11] ιδουσα **f**$^{35}$ A,C [97.6%] CP,RP,HF,TR || --- ℵB,D,W [2.4%] NU

[12] διεταραχθη επι τω λογω **f**$^{35}$ A [97%] CP,RP,HF,TR || ~ 2341 ℵB(D)W [3%] NU || 1 C [alone]

[13] αυτου **f**$^{35}$ A [96.3%] CP,RP,HF,TR || --- ℵB,C,D,W [3.7%] NU

[14] συλληψη **f**$^{35}$ [99.4%] CP,RP,HF,TR || συλλημψη ℵA,B,C(D,W) [0.6%] NU

[15] εσται **f**$^{35}$ ℵA,B,C,D,W [78%] CP,RP,HF,TR,NU || εσται μοι [22%]

[16] συγγενης **f**$^{35}$ C [90%] CP,RP,HF,TR || συγγενις ℵA,B(D) [10%] NU || συνγενεις W [alone]

[17] συνειληφυια **f**$^{35}$ A,C,D [98.8%] CP,RP,HF,TR || συνειληφεν ℵB,W [1.2%] NU

[18] γηρει **f**$^{35}$ ℵA,B,C,D,W [90%] CP,RP,HF,NU || γηρα [10%] TR

[19] τω θεω **f**$^{35}$ A,C [99%] CP,RP,HF,TR || του θεου ℵB,D,W [1%] NU

[20] αναστασα δε **f**$^{35}$ ℵB,C,D,W [90.6%] CP,RP,HF,TR,NU || και αναστασα A [9.4%]

Ελισαβετ. 41 Και εγενετο ὡς ηκουσεν ἡ Ελισαβετ τον ασπασμον της Μαριας[1] εσκιρτησεν το
βρεφος εν τη κοιλια αυτης, και επλησθη Πνευματος ῾Αγιου ἡ Ελισαβετ.

*[Elizabeth prophesies]*

**42** Και ανεφωνησεν[2] φωνη[3] μεγαλη και ειπεν: "Ευλογημενη συ εν γυναιξιν, και
ευλογημενος ὁ Καρπος της κοιλιας σου! 43 Και ποθεν μοι τουτο ἱνα ελθη ἡ μητηρ του
Κυριου μου προς με?[4] 44 Ιδου γαρ, ὡς εγενετο ἡ φωνη του ασπασμου σου εις τα ωτα μου
εσκιρτησεν το βρεφος εν αγαλλιασει[5] εν τη κοιλια μου. 45 Και μακαρια ἡ πιστευσασα ὁτι
εσται τελειωσις τοις λελαλημενοις αυτη παρα Κυριου."

*[Mary worships]*

**46** Και ειπεν Μαριαμ: "Μεγαλυνει ἡ ψυχη μου τον Κυριον, 47 και ηγαλλιασεν το
πνευμα μου επι τω Θεω τω Σωτηρι μου. 48 ῾Οτι επεβλεψεν επι την ταπεινωσιν της δουλης
αυτου· ιδου γαρ, απο του νυν μακαριουσιν με πασαι αἱ γενεαι. 49 ῾Οτι εποιησεν μοι
μεγαλεια[6] ὁ Δυνατος, και ῾Αγιον το ονομα αυτου. 50 Και το ελεος αυτου εις γενεας γενεων[7]
τοις φοβουμενοις αυτον. 51 Εποιησεν κρατος εν βραχιονι αυτου· διεσκορπισεν ὑπερηφανους
διανοια καρδιας αυτων· 52 καθειλεν δυναστας απο θρονων και ὑψωσεν ταπεινους·
53 πεινωντας ενεπλησεν αγαθων και πλουτουντας εξαπεστειλεν κενους. 54 Αντελαβετο
Ισραηλ παιδος αυτου, μνησθηναι ελεους, 55 καθως ελαλησεν προς τους πατερας ἡμων, τω
῾Αβρααμ και τω σπερματι αυτου ἑως αιωνος."[8]

56 Εμεινεν δε Μαριαμ συν αυτη ὡσει[9] μηνας τρεις, και ὑπεστρεψεν εις τον οικον
αυτης.

[The birth of John]

**1.57** Τη δε Ελισαβετ επλησθη ὁ χρονος του τεκειν αυτην, και εγεννησεν υἱον. 58 Και
ηκουσαν οἱ περιοικοι και οἱ συγγενεις αυτης ὁτι εμεγαλυνεν Κυριος το ελεος αυτου μετ'
αυτης, και συνεχαιρον αυτη.

*[John is named]*

**59** Και εγενετο εν τη ογδοη ἡμερα[10] ηλθον περιτεμειν το παιδιον, και εκαλουν αυτο
επι τω ονοματι του πατρος αυτου Ζαχαριαν. 60 Και αποκριθεισα ἡ μητηρ αυτου ειπεν,
"Ουχι, αλλα κληθησεται Ιωαννης." 61 Και ειπον[11] προς αυτην ὁτι "Ουδεις εστιν εν τη
συγγενεια[12] σου ὃς καλειται τω ονοματι τουτω." 62 Ενενευον δε τω πατρι αυτου το τί αν
θελοι καλεισθαι αυτον.[13] 63 Και αιτησας πινακιδιον εγραψεν λεγων, "Ιωαννης εσται[14] το[15]
ονομα αυτου!" Και εθαυμασαν παντες. 64 Ανεωχθη δε το στομα αυτου παραχρημα και ἡ
γλωσσα αυτου, και ελαλει ευλογων τον Θεον. 65 (Και εγενετο επι παντας φοβος τους
περιοικουντας αυτους· και εν ὁλη τη ορεινη της Ιουδαιας διελαλειτο παντα τα ῥηματα

---

[1] η ελισαβετ τον ασπασμον της μαριας **$f^{35}$** A,W [98.3%] CP,RP,HF,TR || ~ 345612 ℵB,C,D [1.7%] NU

[2] ανεφωνησεν **$f^{35}$** A,B,D,W [89%] CP,RP,HF,TR,NU || ανεβοησεν ℵC [11%]

[3] φωνη **$f^{35}$** ℵA,C,D [99.2%] CP,RP,HF,TR || κραυγη B,W [0.8%] NU

[4] με **$f^{35}$** A,C,D,W [99.7%] CP,RP,HF,TR || εμε ℵB [0.3%] NU

[5] το βρεφος εν αγαλλιασει **$f^{35}$** A [97.5%] CP,RP,HF || ~ 3412 ℵB,C,D,W [2.5%] TR,NU

[6] μεγαλεια **$f^{35}$** A,C [99.7%] CP,RP,HF,TR || μεγαλα ℵB,D,W [0.3%] NU

[7] γενεας γενεων **$f^{35}$** A [69%] CP,RP,HF,TR || γενεας και γενεων [2.8%] || γενεαν γενεων D [0.6%] || γενεαν και γενεαν ℵ [25.3%] || γενεας και γενεας B,C,W [0.8%] NU || three other variants [1.5%]

[8] εως αιωνος **$f^{35}$** C [35%] CP || εως αιωνας [1%] || εις τον αιωνα ℵA,B,D,W [64%] RP,HF,TR,NU [The reading of **$f^{35}$** ($K^r$) was not created in the 12th century and is independent of $K^x$. Render "while there is an age"—I take the point to be that the things mentioned are pertinent to this world, not the next.]

[9] ωσει **$f^{35}$** A,C [97.8%] CP,RP,HF,TR || ως ℵB,W [2%] NU || --- D [0.2%]

[10] ογδοη ημερα **$f^{35}$** A [97.5%] CP,RP,HF,TR || ημερα τη ογδοη ℵB,C,D,W [2.5%] NU

[11] ειπον **$f^{35}$** A,B,C [99%] CP,RP,HF,TR || ειπαν ℵD,W [1%] NU

[12] εν τη συγγενεια **$f^{35}$** D [88%] CP,RP,HF,TR || εκ της συγγενειας ℵA,B,C,W [12%] NU

[13] αυτον **$f^{35}$** A,C,W [92%] CP,RP,HF,TR || αυτο **$f^{35 1/4}$** $P^4$ℵB,D [8%] NU

[14] εσται **$f^{35}$** C [26%] CP || εστιν ℵA,B,D,W [74%] RP,HF,TR,NU [The reading of $f^{35}$ ($K^r$) was not created in the 12th century and is independent of $K^x$.]

[15] το **$f^{35}$** ℵA,C,D,W [99.4%] CP,RP,HF,TR || --- $P^4$B [0.6%] NU

ταυτα. 66 Και ἐθεντο παντες οἱ ακουσαντες εν τη καρδια αυτων λεγοντες, "Τί αρα το
παιδιον τουτο εσται?" Και[1] χειρ Κυριου ἦν μετ' αυτου.)

*[Zacharias prophesies]*

**67** Και Ζαχαριας ὁ πατηρ αυτου επλησθη Πνευματος Ἁγιου και προεφητευσεν[2]
λεγων: 68 "Ευλογητος Κυριος ὁ Θεος του Ισραηλ, ὁτι επεσκεψατο και εποιησεν λυτρωσιν
τω λαω αυτου, 69 και ηγειρεν κερας σωτηριας ἡμιν εν τω[3] οικω Δαυιδ του[4] παιδος αυτου—
70 καθως ελαλησεν δια στοματος των ἁγιων των[5] απ' αιωνος προφητων αυτου—
71 σωτηριαν εξ εχθρων ἡμων και εκ χειρος παντων των μισουντων ἡμας· 72 ποιησαι ελεος
μετα των πατερων ἡμων και μνησθηναι διαθηκης ἁγιας αυτου, 73 ὁρκον ὃν ωμοσεν προς
Ἁβρααμ τον πατερα ἡμων· 74 του δουναι ἡμιν αφοβως εκ χειρος των[6] εχθρων ἡμων[7]
ῥυσθεντας, λατρευειν αυτω 75 εν ὁσιοτητι και δικαιοσυνη ενωπιον αυτου πασας τας ἡμερας[8]
της ζωης[9] ἡμων.

76 Και συ,[10] παιδιον, προφητης Ὑψιστου κληθηση, προπορευση γαρ προ προσωπου[11]
Κυριου ἑτοιμασαι ὁδους αυτου, 77 του δουναι γνωσιν σωτηριας τω λαω αυτου εν αφεσει
ἁμαρτιων αυτων,[12] 78 δια σπλαγχνα ελεους Θεου ἡμων εν οἷς επεσκεψατο[13] ἡμας ανατολη εξ
ὑψους· 79 επιφαναι τοις εν σκοτει και σκια θανατου καθημενοις, του κατευθυναι τους ποδας
ἡμων εις ὁδον ειρηνης."

**80** Το δε παιδιον ηυξανεν και εκραταιουτο πνευματι, και ἦν εν ταις ερημοις ἑως
ἡμερας αναδειξεως αυτου προς τον Ισραηλ.

[The birth of Jesus—4 BC]

**2.1** Εγενετο δε εν ταις ἡμεραις εκειναις εξηλθεν δογμα παρα Καισαρος Αυγουστου
απογραφεσθαι πασαν την οικουμενην. 2 Αὑτη ἡ[14] απογραφη πρωτη εγενετο ἡγεμονευοντος
της Συριας Κυρηνιου. 3 Και επορευοντο παντες απογραφεσθαι, ἑκαστος εις την ιδιαν[15]
πολιν.

*[At night, in Bethlehem, the Savior is born]*

**4** Ανεβη δε και Ιωσηφ απο της Γαλιλαιας εκ πολεως Ναζαρετ[16] εις την Ιουδαιαν, εις
πολιν Δαυιδ ἥτις καλειται Βηθλεεμ, δια το ειναι αυτον εξ οικου και πατριας Δαυιδ,
5 απογραψασθαι συν Μαριαμ τη μεμνηστευμενη[17] αυτω γυναικι,[18] ουση εγκυω. 6 Εγενετο δε
εν τω ειναι αυτους εκει επλησθησαν αἱ ἡμεραι του τεκειν αυτην. 7 Και ετεκεν τον Υἱον
αυτης τον πρωτοτοκον, και εσπαργανωσεν αυτον και ανεκλινεν αυτον εν τη[19] φατνη, διοτι
ουκ ἦν αυτοις τοπος εν τω καταλυματι.

*[Angels and shepherds]*

---

[1] και **f**$^{35}$ A [98.6%] CP,RP,HF,TR || και γαρ $P^4$ℵB,C,D,W [1.4%] NU
[2] προεφητευσεν **f**$^{35}$ (D) [94%] CP,RP,HF,TR || επροφητευσεν $P^4$ℵA,B,C,W [3.8%] NU || επροεφητευσεν [2.2%]
[3] τω **f**$^{35}$ A [93%] CP,RP,HF,TR || --- ℵB,C,D,W [7%] NU
[4] του **f**$^{35}$ A,C [99.3%] CP,RP,HF,TR || --- $P^4$ℵB,D,W [0.7%] NU
[5] των **f**$^{35}$ A,C,D [98%] CP,RP,HF,TR || --- $P^4$ℵB,W [2%] NU
[6] των **f**$^{35}$ A,C [98.4%] CP,RP,HF,TR || --- ℵB,D,W [1.6%] NU
[7] ημων **f**$^{35}$ A,C,D [98.5%] CP,RP,HF,TR || --- ℵB,W [1.5%] NU
[8] πασας τας ημερας **f**$^{35}$ ℵA,C,D [99.5%] CP,RP,HF,TR || πασαις ταις ημεραις $P^4$B,W [0.5%] NU
[9] της ζωης **f**$^{35}$ [77%] CP,RP,HF,TR || --- $P^4$ℵA,B,C,D,W [23%] NU
[10] συ **f**$^{35}$ A [99.3%] CP,RP,HF,TR || συ δε $P^4$ℵB,C,D,W [0.7%] NU
[11] προ προσωπου **f**$^{35}$ A,C,D [99.7%] CP,RP,HF,TR || ενωπιον ($P^4$)ℵB,W [0.3%] NU
[12] αυτων **f**$^{35}$ $P^4$ℵB,D [85%] CP,RP,HF,TR,NU || ημων A,C [13%] || αυτου W [1%] || --- [1%]
[13] επεσκεψατο **f**$^{35}$ A,C,D [99.6%] CP,RP,HF,TR || επισκεψεται $P^4$ℵB,W [0.4%] NU
[14] η **f**$^{35}$ ℵA,C,W [99.4%] CP,RP,HF,TR || --- B,D [0.6%] NU
[15] ιδιαν **f**$^{35}$ A,C [99.3%] CP,RP,HF,TR || εαυτου B,D,W [0.7%] NU || εαυτων ℵ [alone]
[16] ναζαρετ **f**$^{35}$ B,W [73%] CP,RP,HF,TR || ναζαρεθ ℵD [26.5%] NU || ναζαραθ A,C [0.5%]
[17] μεμνηστευμενη **f**$^{35}$ [99%] CP,RP,HF,TR || εμνηστευμενη ℵA,B,C,D [0.6%] NU || εμεμνηστευμενη C [alone] || two other variants [0.4%]
[18] γυναικι **f**$^{35}$ A [98.4%] CP,RP,HF,TR || --- ℵB,$C^v$D,W [1.6%] NU
[19] τη **f**$^{35}$ [95.3%] CP,RP,HF,TR || --- ℵA,B,D,W [4.7%] NU

**8** Και ποιμενες ησαν εν τη χωρα τη αυτη αγραυλουντες και φυλασσοντες φυλακας
της νυκτος επι την ποιμνην αυτων. 9 Και ιδου,[1] αγγελος Κυριου επεστη αυτοις και δοξα
Κυριου περιελαμψεν αυτους, και εφοβηθησαν φοβον μεγαν. 10 Και ειπεν αυτοις ὁ αγγελος:
"Μη φοβεισθε, ιδου γαρ, ευαγγελιζομαι ὑμιν χαραν μεγαλην ἡτις εσται παντι τω λαω,
11 ὁτι ετεχθη ὑμιν σημερον Σωτηρ, ὅς εστιν Χριστος Κυριος, εν πολει Δαυιδ. 12 Και
τουτο ὑμιν το σημειον, εὑρησετε[2] Βρεφος εσπαργανωμενον, κειμενον[3] εν[4] φατνη." 13 Και
εξαιφνης εγενετο συν τω αγγελω πληθος στρατιας ουρανιου αινουντων τον Θεον και
λεγοντων, 14 "Δοξα εν ὑψιστοις Θεω και επι γης ειρηνη, εν ανθρωποις ευδοκια!"[5]

*[Shepherds go and report]*

**15** Και εγενετο ὡς απηλθον απ' αυτων εις τον ουρανον οἱ αγγελοι, και οἱ
ανθρωποι[6] οἱ ποιμενες ειπον[7] προς αλληλους, "Διελθωμεν δη ἑως Βηθλεεμ και ιδωμεν το
ῥημα τουτο το γεγονος ὃ ὁ Κυριος εγνωρισεν ἡμιν." 16 Και ηλθον[8] σπευσαντες και
ανευρον[9] την τε Μαριαμ και τον Ιωσηφ, και το Βρεφος κειμενον εν τη φατνη. 17 Ιδοντες
δε διεγνωρισαν[10] περι του ῥηματος του λαληθεντος αυτοις περι του παιδιου τουτου. 18 Και
παντες οἱ ακουσαντες εθαυμασαν περι των λαληθεντων ὑπο των ποιμενων προς αυτους.
19 Ἡ δε Μαριαμ παντα συνετηρει τα ῥηματα ταυτα, συμβαλλουσα εν τη καρδια αυτης.
20 Και ὑπεστρεψαν[11] οἱ ποιμενες δοξαζοντες και αινουντες τον Θεον επι πασιν οἷς ηκουσαν
και ειδον, καθως ελαληθη προς αυτους.

*[Jesus is named]*

**21** Και ὁτε επλησθησαν[12] ἡμεραι οκτω του περιτεμειν αυτον,[13] και εκληθη το ονομα
αυτου Ιησους, το κληθεν ὑπο του αγγελου προ του συλληφθηναι[14] αυτον εν τη κοιλια.

*[Jesus is presented to God]*

**22** Και ὁτε επλησθησαν αἱ ἡμεραι του καθαρισμου αυτων[15] κατα τον νομον
Μωσεως,[16] ανηγαγον αυτον εις Ἱεροσολυμα παραστησαι τω Κυριω 23 (καθως γεγραπται εν
νομω Κυριου ὁτι "Παν αρσεν διανοιγον[17] μητραν ἁγιον τω Κυριω κληθησεται"), 24 και
του δουναι θυσιαν κατα το ειρημενον εν[18] νομω Κυριου, ζευγος τρυγονων ἡ δυο νεοσσους[19]
περιστερων.

[Simeon]

**25** Και ιδου ἠν ανθρωπος[20] εν Ἱερουσαλημ ὡ ονομα Συμεων και ὁ ανθρωπος οὑτος
δικαιος και ευλαβης, προσδεχομενος παρακλησιν του Ισραηλ, και Πνευμα ἠν Ἁγιον[21] επ'
αυτον. 26 Και ἠν αυτω κεχρηματισμενον ὑπο του Πνευματος του Ἁγιου μη ιδειν θανατον

---

[1] ιδου **f**[35] A,D [99.2%] CP,RP,HF,TR || --- ℵB,W [0.8%] NU
[2] ευρησετε **f**[35] B,D [87%] CP,RP,HF,TR,NU || ευρησεται ℵA,W [13%]
[3] κειμενον **f**[35] A [94%] CP,RP,HF,TR || και 1 B,W [3.5%] NU || --- ℵD [2.5%]
[4] εν **f**[35] ℵA,B,D,W [90%] CP,RP,HF,NU || εν τη [10%] TR
[5] ευδοκια **f**[35] (99.4%) CP,RP,HF,TR || ευδοκιας ℵA,B,D,W (0.4%) NU [1627 MSS x 6 MSS, according to *Text und Textwert*] (Two other readings 0.2%)
[6] και οι ανθρωποι **f**[35] A,D (97.7%) CP,RP,HF,TR || και (1.1%) || --- (ℵ)B,W (1.1%) NU
[7] ειπον **f**[35] A,D [99%] CP,RP,HF,TR || ελαλουν ℵB,W [0.5%] NU || ειπαν [0.5%]
[8] ηλθον **f**[35] ℵD,W [98.2%] CP,RP,HF,TR || ηλθαν B [0.2%] NU || απηλθον [1.6%]
[9] ανευρον **f**[35] ℵA [92.2%] CP,RP,HF,TR || ανευραν B [alone] NU || ευρον D,W [6%] || ηυραν [0.7%] || ευραν [0.1%]
[10] διεγνωρισαν **f**[35] A [97.8%] CP,RP,HF,TR || εγνωρισαν ℵB,D,W [2.2%] NU
[11] υπεστρεψαν **f**[35] ℵA,B,D,W [97.4%] CP,RP,HF,NU || επεστρεψαν [2.6%] TR
[12] επλησθησαν **f**[35] ℵA,B,W [82%] CP,RP,HF,TR,NU || επλησθησαν αι D [18%]
[13] αυτον **f**[35] ℵA,B,W [65%] CP,RP,HF,NU || το παιδον D [32%] TR || αυτο [3%]
[14] συλληφθηναι **f**[35] [99.1%] CP,RP,HF,TR || συλλημφθηναι ℵA,B [0.8%] NU || συνλημφθηναι D,W [alone]
[15] αυτων **f**[352/3] ℵA,B,W [90%] CP,RP,HF,TR,NU || αυτου **f**[351/3] D [10%]
[16] μωσεως **f**[35] A [62%] CP,RP,HF,TR || μωυσεως ℵB,D,W [35%] NU || μωυσεος [3%]
[17] διανοιγον **f**[35] A,B,D,W [88%] CP,RP,HF,TR,NU || διανοιγων ℵ [12%]
[18] εν **f**[35] A [99%] CP,RP,HF,TR || εν τω ℵB,D,W [1%] NU
[19] νεοσσους **f**[35] A,D [85%] CP,RP,HF,TR || νοσσους ℵB,W [15%] NU
[20] ην ανθρωπος **f**[35] A,D [99%] CP,RP,HF,TR || ~ 21 ℵB,W [1%] NU
[21] ην αγιον **f**[35] ℵA,B,W [83%] CP,RP,HF,NU || ~ 21 D [17%] TR

πριν ἡ[1] ιδη τον Χριστον Κυριου. 27 Και ηλθεν εν τω Πνευματι εις το ἱερον, και εν τω
εισαγαγειν τους γονεις το παιδιον Ιησουν του ποιησαι αυτους κατα το ειθισμενον του
νομου περι αυτου, 28 και αυτος εδεξατο αυτο[2] εις τας αγκαλας αυτου[3] και ευλογησεν τον
Θεον και ειπεν: 29 "Νυν απολυεις τον δουλον σου, Δεσποτα, κατα το ῥημα σου, εν ειρηνη·
30 ὁτι ειδον οἱ οφθαλμοι μου το σωτηριον σου 31 ὃ ἡτοιμασας κατα προσωπον παντων των
λαων, 32 φως εις αποκαλυψιν εθνων και δοξαν λαου σου Ισραηλ." 33 Και ἦν Ιωσηφ και ἡ
μητηρ αυτου[4] θαυμαζοντες επι τοις λαλουμενοις περι αυτου.

34 Και ευλογησεν αυτους Συμεων και ειπεν προς Μαριαμ την μητερα αυτου: "Ιδου,
οὗτος κειται εις πτωσιν και αναστασιν πολλων εν τω Ισραηλ, και εις σημειον
αντιλεγομενον 35 (και σου δε[5] αυτης την ψυχην διελευσεται ῥομφαια), ὁπως αν
αποκαλυφθωσιν εκ πολλων καρδιων διαλογισμοι."

[Anna]

**36** Και ἦν Αννα προφητις, θυγατηρ Φανουηλ, εκ φυλης Ασηρ—αὑτη προβεβηκυια εν
ἡμεραις πολλαις, ζησασα ετη μετα ανδρος ἑπτα[6] απο της παρθενιας αυτης 37 και αυτη χηρα
ὡς[7] ετων ογδοηκοντα τεσσαρων—ἣ ουκ αφιστατο απο[8] του ἱερου, νηστειαις και δεησεσιν
λατρευουσα νυκτα και ἡμεραν. 38 Και αὑτη αυτη[9] τη ὡρα επιστασα ανθωμολογειτο τω
Κυριω[10] και ελαλει περι Αυτου πασιν τοις προσδεχομενοις λυτρωσιν εν[11] Ἱερουσαλημ.

*[Back to Natsareth]*

**39** Και ὡς ετελεσαν ἁπαντα[12] τα[13] κατα τον νομον Κυριου, ὑπεστρεψαν[14] εις την
Γαλιλαιαν εις την[15] πολιν ἑαυτων[16] Ναζαρετ.[17] 40 Το δε παιδιον ηυξανεν και εκραταιουτο
πνευματι,[18] πληρουμενον σοφιας·[19] και χαρις Θεου ἦν επ' αυτω.[20]

## [A twelve-year-old Boy]

**2.41** Και επορευοντο οἱ γονεις αυτου κατ' ετος εις Ἱερουσαλημ τη ἑορτη του Πασχα·
42 και ὁτε εγενετο ετων δωδεκα, αναβαντων αυτων[21] εις Ἱεροσολυμα[22] κατα το εθος της
ἑορτης 43 και τελειωσαντων τας ἡμερας, εν τω ὑποστρεφειν αυτους ὑπεμεινεν Ιησους ὁ Παις
εν Ἱερουσαλημ· και ουκ εγνω[23] Ιωσηφ και ἡ μητηρ[24] αυτου. 44 Νομισαντες δε αυτον εν τη
συνοδια ειναι[25] ηλθον ἡμερας ὁδον, και ανεζητουν αυτον εν τοις συγγενεσιν[1] και εν τοις

---

[1] πριν η **f**$^{35}$ A,D [91%] CP,RP,HF,TR || πριν η αν [0.5%] [NU] || πριν αν B [0.5%] || πριν W [8%] || εως αν ℵ [alone]
[2] αυτο **f**$^{35}$ ℵA,B,D,W [70%] CP,RP,HF,TR,NU || αυτον [30%]
[3] αυτου **f**$^{35}$ A,D [96%] CP,RP,HF,TR || --- ℵB,W [4%] NU
[4] (ο A 2.2%) ιωσηφ και η μητηρ αυτου **f**$^{35}$ (A) (98.8%) it,syr,Diat,CP,RP,HF,TR || ο πατηρ αυτου και η μητηρ (+αυτου ℵ 0.4%,cop) (ℵ)B,D,W (0.9%) vg,cop,NU || two other readings
[5] δε **f**$^{35}$ ℵA,D [99.6%] CP,RP,HF,TR[NU] || --- B,W [0.4%]
[6] ετη μετα ανδρος επτα **f**$^{35}$ [88%] CP,RP,HF,TR || ~ 2314 ℵB,W [5.2%] NU || ~ 1423 A,D [6.8%]
[7] ως **f**$^{35}$ W [98.5%] CP,RP,HF,TR || εως ℵA,B [1.1%] NU || --- D [0.4%]
[8] απο **f**$^{35}$ A [98.7%] CP,RP,HF,TR || --- B,D,W [1.3%] NU || εκ ℵ
[9] αὑτη αυτη **f**$^{35}$ [93%] CP,RP,HF,TR || 1 A,B,W [4.5%] || 2 ℵD [2.5%] NU
[10] κυριω **f**$^{35}$ A [99.3%] CP,RP,HF,TR || θεω ℵB,D,W [0.7%] NU
[11] εν **f**$^{35}$ A,D [94.5%] CP,RP,HF,TR || --- ℵB,W [5.5%] NU
[12] απαντα **f**$^{35}$ A,D [95.8%] CP,RP,HF,TR || παντα ℵB,W [4.2%] NU
[13] τα **f**$^{35}$ A,B,W [87%] CP,RP,HF,TR,NU || --- ℵD [13%]
[14] υπεστρεψαν **f**$^{35}$ A,D [99.6%] CP,RP,HF,TR || επεστρεψαν (ℵ)B,W [0.4%] NU
[15] την **f**$^{35}$ A [98%] CP,RP,HF,TR || --- ℵB,D,W [2%] NU
[16] εαυτων **f**$^{35}$ ℵA,B,D,W [65%] CP,RP,HF,NU || αυτων [35%] TR
[17] ναζαρετ **f**$^{35}$ ℵW [63%] CP,RP,HF,TR || ναζαρεθ B$^{v}$(D) [35.3%] NU || ναζαρατ A [0.3%] || ναζαραθ [1.4%]
[18] πνευματι **f**$^{35}$ A [99.6%] CP,RP,HF,TR || --- ℵB,D,W [0.4%] NU
[19] σοφιας **f**$^{35}$ ℵA,D [99.5%] CP,RP,HF,TR || σοφια B,W [0.5%] NU
[20] αυτω **f**$^{35pt}$ [41%] || αυτο **f**$^{35pt}$ ℵA,B,D,W [58%] CP,RP,HF,TR,NU || αυτον [1%] [The dative is best—the grace was resting on Him all the time.]
[21] αναβαντων αυτων **f**$^{35}$ [90%] CP,RP,HF,TR || αναβαινοντων (ℵ)A,B,W [9.6%] NU || ανεβησαν (D) [0.4%]
[22] εις ιεροσολυμα **f**$^{35}$ A,C$^{v}$D [99.5%] CP,RP,HF,TR || --- ℵB,W [0.5%] NU
[23] εγνω **f**$^{35}$ A,C [96.4%] CP,RP,HF,TR || εγνωσαν ℵB,D,W [3.6%] NU
[24] ιωσηφ και η μητηρ **f**$^{35}$ A,C [97.1%] CP,RP,HF,TR || οι γονεις ℵB,D,W [2.9%] NU
[25] εν τη συνοδια ειναι **f**$^{35}$ A,C [99%] CP,RP,HF,TR || ~ 4123 ℵB,D,W [1%] NU

γνωστοις.[2] 45 Και μη εὑροντες αυτον[3] ὑπεστρεψαν εις Ἱερουσαλημ, ζητουντες[4] αυτον.
46 Και εγενετο μεθ'[5] ἡμερας τρεις εὑρον αυτον εν τω ἱερω καθεζομενον εν μεσω των
διδασκαλων, και ακουοντα αυτων και επερωτωντα αυτους. 47 Εξισταντο δε παντες οἱ
ακουοντες αυτου επι τη συνεσει και ταις αποκρισεσιν αυτου. 48 Και ιδοντες αυτον
εξεπλαγησαν, και προς αυτον ἡ μητηρ αυτου ειπεν:[6] "Τεκνον, τί εποιησας ἡμιν οὑτως? Ιδου,
ὁ πατηρ σου καγω οδυνωμενοι εζητουμεν σε." 49 Και ειπεν προς αυτους: "Τί ὅτι εζητειτε
με? Ουκ ηδειτε ὅτι εν τοις του Πατρος μου δει ειναι με?" 50 Και αυτοι ου συνηκαν το
ῥημα ὃ ελαλησεν αυτοις.

**51** Και κατεβη μετ' αυτων και ηλθεν εις Ναζαρετ,[7] και ἦν ὑποτασσομενος αυτοις.
Και ἡ[8] μητηρ αυτου διετηρει παντα τα ῥηματα ταυτα[9] εν τη καρδια αυτης. 52 Και Ιησους
προεκοπτεν[10] σοφια και ἡλικια, και χαριτι παρα Θεω και ανθρωποις.

[Enter John the baptizer—26 AD]

**3.1** Εν ετει δε[11] πεντεκαιδεκατω της ἡγεμονιας Τιβεριου Καισαρος, ἡγεμονευοντος Ποντιου
Πιλατου της Ιουδαιας, και τετραρχουντος[12] της Γαλιλαιας Ἡρωδου, Φιλιππου δε του
αδελφου αυτου τετραρχουντος[13] της Ιτουραιας και Τραχωνιτιδος χωρας, και Λυσανιου της
Αβιληνης τετραρχουντος,[14] 2 επι αρχιερεως[15] Αννα και Καιαφα, εγενετο ῥημα Θεου επι
Ιωαννην τον[16] Ζαχαριου υἱον εν τη ερημω. 3 Και ηλθεν εις πασαν την[17] περιχωρον του
Ιορδανου κηρυσσων βαπτισμα μετανοιας εις αφεσιν ἁμαρτιων, 4 ὡς γεγραπται εν βιβλω
λογων Ησαιου του προφητου, λεγοντος:[18] "Φωνη βοωντος: Ἑν τη ερημω ἑτοιμασατε την
ὁδον Κυριου, ευθειας ποιειτε τας τριβους αυτου. 5 Πασα φαραγξ[19] πληρωθησεται και παν
ορος και βουνος ταπεινωθησεται· και εσται τα σκολια εις ευθειαν και αἱ τραχειαι εις ὁδους
λειας· 6 και οψεται πασα σαρξ το σωτηριον του Θεου.'"

*["Brood of vipers!"]*

**7** Ελεγεν ουν τοις εκπορευομενοις οχλοις βαπτισθηναι ὑπ' αυτου: "Γεννηματα
εχιδνων! Τίς ὑπεδειξεν ὑμιν φυγειν απο της μελλουσης οργης? 8 Ποιησατε ουν καρπους
αξιους της μετανοιας, και μη αρξησθε λεγειν εν ἑαυτοις, 'Πατερα εχομεν τον Ἀβρααμ.'
Λεγω γαρ ὑμιν ὅτι δυναται ὁ Θεος εκ των λιθων τουτων εγειραι τεκνα τω Ἀβρααμ. 9 Ηδη
δε και ἡ αξινη προς την ῥιζαν των δενδρων κειται· παν ουν δενδρον μη ποιουν καρπον
καλον εκκοπτεται και εις πυρ βαλλεται."

*["What shall we do?"]*

---

[1] συγγενεσιν **f**$^{35}$ אA,C(D) [86%] CP,RP,HF,TR || συγγενευσιν B,W [14%] NU
[2] και εν τοις γνωστοις **f**$^{35}$ D [85%] CP,RP,HF,TR || 134 A,B,C,W [14.9%] NU || --- א [0.1%]
[3] αυτον **f**$^{35}$ A [98.5%] CP,RP,HF,TR || --- אB,C,D,W [1.5%] NU
[4] ζητουντες **f**$^{35}$ אA [95%] CP,RP,HF,TR || αναζητουντες B,C,D,W [4.3%] NU || επιζητουντες [0.7%]
[5] μεθ **f**$^{35}$ A,C,D [95.8%] CP,RP,HF,TR || μετα אB,W [4.2%] NU
[6] προς αυτον η μητηρ αυτου ειπεν **f**$^{35}$ A [98.6%] CP,RP,HF,TR || ~ 612345 אB,C,D,W [1.4%] NU
[7] ναζαρετ **f**$^{35}$ אC,W [60%] CP,RP,HF,TR || ναζαρεθ B,D [38.5%] NU || ναζαρατ A [0.3%] || ναζαραθ [1.2%]
[8] και η **f**$^{35}$ אA,B,C,W [83.5%] CP,RP,HF,TR,NU || ~ 2 δε D [16.5%]
[9] ταυτα **f**$^{35}$ A,C [98.4%] CP,RP,HF,TR || --- אB,D,W [1.6%] NU
[10] προεκοπτεν **f**$^{35}$ A,C,D [99.7%] CP,RP,HF,TR || 1 εν τη א [0.1%] [NU] || 1 τη B,W [0.2%]
[11] δε *rell* || --- [12%]
[12] τετραρχουντος **f**$^{35}$ B,D,W [99.8%] CP,RP,HF,TR || τετρααρχουντος אA,C [alone] NU
[13] τετραρχουντος **f**$^{35}$ A,B,D,W [99.9%] CP,RP,HF,TR || τετρααρχουντος אC [alone] NU
[14] τετραρχουντος **f**$^{35}$ A,B,D,W [99.9%] CP,RP,HF,TR || τετρααρχουντος אC [alone] NU
[15] επι αρχιερεως **f**$^{35}$ אA,B,C,D,W [96.5%] CP,RP,HF,UN || επ αρχιερεως [0.4%] || επι αρχιερεων [2.8%] || επ αρχιερεων [0.3%] TR
[16] τον **f**$^{35}$ אA,B,C,D,W [82%] CP,RP,HF,NU || 1 του [18%] TR
[17] την **f**$^{35}$ אC,D [99.5%] CP,RP,HF,TR[NU] || --- A,B,W [0.5%]
[18] λεγοντος **f**$^{35}$ A,C [98.2%] CP,RP,HF,TR || --- אB,D,W [1.8%] NU
[19] φαραγξ **f**$^{35}$ אB,C,D,W [75%] CP,RP,HF,TR,NU || φαραξ **f**$^{351/4}$ A [25%]

**10** Και επηρωτων αυτον οἱ οχλοι λεγοντες, "Τί ουν ποιησομεν?"[1] 11 Αποκριθεις δε
λεγει[2] αυτοις, "Ὁ εχων δυο χιτωνας μεταδοτω τω μη εχοντι, και ὁ εχων βρωματα ὁμοιως
ποιειτω." 12 Ηλθον δε και τελωναι βαπτισθηναι ὑπ' αυτου[3] και ειπον προς αυτον,
"Διδασκαλε, τί ποιησομεν?"[4] 13 Ὁ δε ειπεν προς αυτους, "Μηδεν πλεον παρα το
διατεταγμενον ὑμιν πρασσετε." 14 Επηρωτων δε αυτον και στρατευομενοι λεγοντες, "Και
ἡμεις, τί ποιησομεν?"[5] Και ειπεν προς αυτους,[6] "Μηδενα διασεισητε μηδε συκοφαντησητε,
και αρκεισθε τοις οψωνιοις ὑμων."

*["A greater One is coming"]*

**15** Προσδοκωντος δε του λαου και διαλογιζομενων παντων εν ταις καρδιαις αυτων
περι του Ιωαννου, μηποτε αυτος ειη ὁ Χριστος, 16 απεκρινατο ὁ Ιωαννης ἁπασιν[7] λεγων:[8]
"Εγω μεν ὑδατι βαπτιζω ὑμας· ερχεται δε ὁ ισχυροτερος μου, οὗ ουκ ειμι ἱκανος λυσαι τον
ἱμαντα των ὑποδηματων αυτου. Αυτος ὑμας βαπτισει εν Πνευματι Ἁγιω και πυρι· 17 οὗ το
πτυον εν τη χειρι αυτου και διακαθαριει[9] την ἁλωνα αυτου και συναξει[10] τον σιτον εις την
αποθηκην αυτου, το δε αχυρον κατακαυσει πυρι ασβεστω."

*[John is imprisoned—historical aside]*

(**18** Πολλα μεν ουν και ἑτερα παρακαλων ευηγγελιζετο τον λαον.[11] 19 Ὁ δε Ἡρωδης
ὁ τετραρχης,[12] ελεγχομενος ὑπ' αυτου περι Ἡρωδιαδος της γυναικος[13] του αδελφου αυτου,
και περι παντων ὧν εποιησεν πονηρων ὁ Ἡρωδης, 20 προσεθηκεν και τουτο επι πασιν
και[14] κατεκλεισεν τον Ιωαννην εν τη[15] φυλακη.)

*[Jesus is baptized]*

**21** Εγενετο δε εν τω βαπτισθηναι ἁπαντα τον λαον και Ιησου, βαπτισθεντος και
προσευχομενου, ανεωχθηναι τον ουρανον 22 και καταβηναι το Πνευμα το Ἁγιον σωματικω
ειδει ὡσει[16] περιστεραν επ' αυτον, και φωνην εξ ουρανου γενεσθαι λεγουσαν,[17] "Συ εἶ ὁ
Υἱος μου ὁ αγαπητος, εν σοι ευδοκησα."[18]

## [Mary's genealogy]

**3.23** Και αυτος ἦν ὁ[19] Ιησους, ὡσει ετων τριακοντα αρχομενος,[20] ων (ὡς ενομιζετο) υἱος[21]
Ιωσηφ, του Ἡλει,[22] 24 του Ματθαν,[1] του Λευι, του Μελχι,[2] του Ιαννα,[3] του Ιωσηφ, 25 του

---

[1] ποιησομεν $\mathbf{f}^{35}$ [45%] CP,TR || ποιησωμεν $\mathbf{f}^{351/4}$ אA,B,C(D)W [55%] RP,HF,NU (The indicative is correct; they are committing themselves to do what he says.)

[2] λεγει $\mathbf{f}^{35}$ A,D [97.8%] CP,RP,HF,TR || ελεγεν $P^{4}$אB,C [2.2%] NU || ειπεν W

[3] υπ αυτου $\mathbf{f}^{35}$ C [40%] CP || --- $P^{4}$אA,B,D,W [60%] RP,HF,TR,NU

[4] ποιησομεν $\mathbf{f}^{35}$ [43%] CP,TR || ποιησωμεν $\mathbf{f}^{351/4}$ $P^{4}$אA,B,C(D)W [57%] RP,HF,NU (The indicative continues to be correct.)

[5] και ημεις τι ποιησομεν $\mathbf{f}^{35}$ A [45%] CP,TR || 123 ποιησωμεν $\mathbf{f}^{351/4}$ (D) [53.4%] RP,HF || ~ 3 ποιησωμεν 12 $P^{4v}$אB,C,W [1.6%] NU (Still indicative.)

[6] προς αυτους $\mathbf{f}^{35}$ אA,W [99.1%] CP,RP,HF,TR || αυτοις $P^{4}$B,C,D [0.9%] NU

[7] απασιν $\mathbf{f}^{35}$ A,C,D [98.2%] CP,RP,HF,TR || πασιν $P^{4}$אB,W [1.8%] NU

[8] ο ιωαννης απασιν λεγων $\mathbf{f}^{35}$ A,C [91.3%] CP,RP,HF,TR || 234 [5.7%] || 34 D [0.4%] || ~ 1243 [1.6%] || ~ 4312 $P^{4}$אB,W [0.3%] NU || ~ 3124 [0.6%] || ~ 3412 [0.1%]

[9] διακαθαριει $\mathbf{f}^{35}$ A,C,D,W [97.9%] CP,RP,HF,TR || διακαθαραι ($P^{4}$אB) [alone] NU || καθαριει [1.8%] || one other reading

[10] συναξει $\mathbf{f}^{35}$ A,C,D,W [99.8%] CP,RP,HF,TR || συναγαγειν $P^{4}$אB [alone] NU

[11] τον λαον $\mathbf{f}^{35pt}$ *rell* || τω λαω $\mathbf{f}^{35pt}$ [10%]

[12] τετραρχης $\mathbf{f}^{35}$ A,B,D,W [99.8%] CP,RP,HF,TR || τετρααρχης אC [alone] NU

[13] γυναικος $\mathbf{f}^{35}$ $P^{4,75v}$אB,D [75%] CP,RP,HF,NU || 1 φιλιππου A,C,W [25%] TR

[14] και $\mathbf{f}^{35}$ A,C,W [98.2%] CP,RP,HF,TR[NU] || --- אB,D [1.8%]

[15] τη $\mathbf{f}^{35}$ A,C,W [86%] CP,RP,HF,TR || --- $P^{4}$אB,D [14%] NU

[16] ωσει $\mathbf{f}^{35}$ A,C [96.4%] CP,RP,HF,TR || ως $P^{4}$אB,D,W [3.6%] NU

[17] λεγουσαν $\mathbf{f}^{35}$ A [99.2%] CP,RP,HF,TR || --- $P^{4}$אB,D,W [0.8%] NU

[18] ευδοκησα $\mathbf{f}^{35}$ $P^{4}$אB [72%] CP,RP,HF,NU || ηυδοκησα A,D,W [28%] TR

[19] ο $\mathbf{f}^{35}$ A [97%] CP,RP,HF,TR || --- $P^{4}$אB,D,W [3%] NU

[20] ωσει ετων τριακοντα αρχομενος $\mathbf{f}^{35}$ A(D) [98.8%] CP,RP,HF,TR || ~ 4123 $P^{4}$אB,W [1.2%] NU

[21] ως ενομιζετο υιος $\mathbf{f}^{35}$ A,D [98.7%] CP,RP,HF,TR || ~ 312 $P^{4}$אB,W [1.3%] NU

[22] ηλει $\mathbf{f}^{35}$ אA,B [60%] CP || ηλι $P^{4}$ [40%] RP,HF,TR,NU [Codex W omits the whole genealogy, while codex D replaces it with Matthew's.]

του Ματταθιου, του Αμως, του Ναουμ, του Εσλι,[4] του Ναγγαι, 26 του Μααθ, του Ματταθιου, του Σεμει,[5] του Ιωσηφ,[6] του Ιουδα,[7] 27 του Ιωανναν,[8] του Ῥησα, του Ζοροβαβελ, του Σαλαθιηλ, του Νηρι,[9] 28 του Μελχι,[10] του Αδδι,[11] του Κωσαμ, του Ελμωδαμ,[12] του Ηρ, 29 του Ιωση,[13] του Ελιεζερ, του Ιωρειμ,[14] του Ματθατ,[15] του Λευι,[16] 30 του Συμεων, του Ιουδα, του Ιωσηφ, του Ιωναν,[17] του Ελιακειμ,[18] 31 του Μελεα, του Μαιναν,[19] του Ματταθα, του Ναθαν,[20] του Δαυιδ, 32 του Ιεσσαι, του Ωβηδ,[21] του Βοοζ,[22] του Σαλμων,[23] του Ναασσων, 33 του Αμιναδαβ,[24] του Αραμ,[25] του Ιωραμ,[26] του Ἑσρωμ, του Φαρες, του Ιουδα, 34 του Ιακωβ, του Ισαακ, του Ἀβρααμ, του Θαρρα,[27] του Ναχωρ, 35 του Σερουχ,[28] του Ῥαγαυ,[29] του Φαλεκ,[30] του Εβερ, του Σαλα, 36 του Καιναν,[31] του Αρφαξαδ, του Σημ, του Νωε, του Λαμεχ, 37 του Μαθουσαλα, του Ἑνωχ, του Ιαρεδ,[32] του Μαλελεηλ, του Καιναν,[33] 38 του Ενως, του Σηθ, του Αδαμ, του Θεου.

[Jesus tested by Satan]

---

[1] ματθαν **f**[35] [45%] CP || ματθατ A,B [52%] RP,HF,TR || μαθθαθ P[4](א) [alone] || ματθα [1.9%] || ματταθ [0.9%] || three other spellings [0.2%] || μαθθατ [none!] NU (NU serves up a patchwork quilt.)

[2] μελχι **f**[35] [66%] CP,RP,HF,TR,NU || μελχει P[4]אA,B [33.4%] || μελχη [0.6%]

[3] ιαννα **f**[35] A [87.9%] CP,RP,HF,TR || ιανναι P[4v]אB [1.2%] NU || ιωαννα [4.8%] || ιανναν [1.4%] || αννα [1.1%] || ιωαννε [0.9%] || nine other spellings [2.7%]

[4] εσλι **f**[35] [64%] CP,RP,HF,TR,NU || εσλει אA,B [28.1%] || εσλιμ [3.5%] || εσλειμ [2.5%] || four other spellings P[4v] [1.9%]

[5] σεμει **f**[35] [51%] CP,TR || σεμεει A [45.4%] RP,HF || σαιμει [2.2%] || σεμεειν P[4]אB [0.5%] || σεμεη [0.7%] || three other spellings [0.2%] || σεμειν [none!] NU (NU serves up another patchwork quilt.)

[6] ιωσηφ **f**[35] A [94.2%] CP,RP,HF,TR || ιωσηχ P[4]אB [5.7%] NU || two other spellings [0.1%]

[7] ιουδα **f**[35] A [94.7%] CP,RP,HF,TR || ιωδα P[4]אB [5%] NU || four other spellings [0.3%]

[8] ιωανναν **f**[35] [49%] CP || ιωαννα [13%] TR || ιωαναν P[4]A,B [18%] RP,HF,NU || ιωναν א [12%] || ιωνναν [2%] || ιαναν [3%] || ιανναν [1.6%] || four other spellings [1.4%] (If we take the letters one by one, we get: ι=100%, ω=a. 94%, α=a. 87%, ν=100%, ν=a. 69%, α=100%, ν=a. 72%; the plurality variant wins all around.)

[9] νηρι **f**[35] [65%] CP,RP,HF,TR,NU || νηρει P[4]אA,B [34%] || six other spellings [1%]

[10] μελχι **f**[35] [75%] CP,RP,HF,TR,NU || μελχει P[4]אA,B [25%]

[11] αδδι **f**[35] [75%] CP,RP,HF,TR,NU || αδδει P[4]אA,B [25%]

[12] ελμωδαμ **f**[35] A [98%] CP,RP,HF,TR || ελμαδαμ אB [2%] NU || ελμασαμ P[4]

[13] ιωση **f**[35] A [95%] CP,RP,HF,TR || ιησου אB [5%] NU

[14] ιωρειμ [%] || ιωριμ [%] NU

[15] ματθατ **f**[35] [90%] CP,RP,HF,TR || μαθθατ B [5%] NU || ματταθ A [5%] || μαθθαθ א

[16] λευι **f**[35] [90%] CP,RP,HF,TR,NU || λευει P[4]אA,B [10%]

[17] ιωναν **f**[351/3] [80%] CP,RP,HF,TR || ιωναμ **f**[352/3] אB [18%] NU || ιωαναν A [2%]

[18] ελιακειμ [%] || ελιακιμ [%] NU

[19] μαιναν **f**[35] [95%] CP,RP,HF,TR || μεννα אB [5%] NU || --- A

[20] ναθαν **f**[35] A [95%] CP,RP,HF,TR || ναθαμ אB [5%] NU

[21] ωβηδ **f**[35] [90%] CP,RP,HF,TR || ιωβηδ A [10%] NU || ιωβηλ אB

[22] βοοζ **f**[35] [95%] CP,RP,HF,TR || βοος A,B [5%] NU || βαλλς א

[23] σαλμων **f**[35] A [95%] CP,RP,HF,TR || σαλα אB [5%] NU

[24] αμιναδαβ **f**[35] A(D) [75%] CP,RP,HF,TR,NU || αμιναδαμ [25%] || αδαμ א || --- B

[25] του αραμ **f**[35] A(D) [99%] CP,RP,HF,TR || του αδμειν του αρνει B || του αδμιν του αρνει א || του αδμιν του αρνι [none!!] NU [There are four further variations. UBS has presented the evidence in their apparatus so as to obscure the fact that no Greek MS has the precise text they have printed, a veritable 'patchwork quilt'.]

[26] του ιωραμ **f**[35] [75%] syr[h],it[b],RP,HF || --- אA,B [25%] lat,syr[p,pal],cop,CP,TR,NU (it[b] gives us overt V century attestation for 'Joram', though I have demonstrated, to my own satisfaction at least, that **f**[35] must hark back at least to the III.)

[27] θαρρα **f**[35] [30%] CP || θαρα אA,B,D [70%] RP,HF,TR,NU

[28] σερουχ **f**[35] אA,B [95%] CP,RP,HF,NU || σαρουχ [5%] TR

[29] ραγαυ אA,B [80%] CP,RP,HF,TR,NU || ραγαβ **f**[35] [20%]

[30] φαλεκ **f**[35] אA,B [50%] CP,RP,HF,TR,NU || φαλεγ A [50%]

[31] καιναν **f**[35] A [95%] CP,RP,HF,TR || καιναμ אB [5%] NU

[32] ιαρεδ **f**[35] [95%] CP,RP,HF,TR || ιαρετ אB [5%] NU || ιαρεθ A

[33] καιναν **f**[35] A,B [95%] CP,RP,HF,TR || καιναμ א [5%] NU

**4.1** Ιησους δε πληρης Πνευματος ῾Αγιου[1] ὑπεστρεψεν απο του Ιορδανου και ηγετο εν τω
Πνευματι εις την ερημον[2] 2 ἡμερας τεσσαρακοντα[3] πειραζομενος ὑπο του διαβολου. Και ουκ
εφαγεν ουδεν εν ταις ἡμεραις εκειναις, και συντελεσθεισων αυτων ὑστερον[4] επεινασεν.
3 Και ειπεν[5] αυτω ὁ διαβολος, "Ει Υἱος εἶ του Θεου ειπε τω λιθω τουτω ἵνα γενηται
αρτος." 4 Και απεκριθη Ιησους προς αυτον λεγων,[6] "Γεγραπται ὅτι ῾Ουκ επ' αρτω μονω
ζησεται[7] ανθρωπος αλλ' επι παντι ῥηματι Θεου'."[8]

**5** Και αναγαγων αυτον ὁ διαβολος εις ορος ὑψηλον[9] εδειξεν αυτω πασας τας
βασιλειας της οικουμενης εν στιγμη χρονου. 6 Και ειπεν αυτω ὁ διαβολος: "Σοι δωσω την
εξουσιαν ταυτην ἅπασαν και την δοξαν αυτων, ὅτι εμοι παραδεδοται και ᾧ εαν θελω διδωμι
αυτων. 7 Συ ουν εαν προσκυνησης ενωπιον εμου,[10] εσται σοι[11] πασα."[12] 8 Και αποκριθεις
αυτω ειπεν ὁ Ιησους:[13] "῾Υπαγε οπισω μου, Σατανα![14] Γεγραπται,[15] ῾Προσκυνησεις Κυριον
τον Θεον σου,[16] και αυτω μονω λατρευσεις'."

**9** Και ηγαγεν[17] αυτον εις ῾Ιερουσαλημ και εστησεν αυτον[18] επι το πτερυγιον του
ἱερου και ειπεν αυτω: "Ει[19] Υἱος εἶ του Θεου, βαλε σεαυτον εντευθεν κατω, 10 γεγραπται
γαρ ὅτι ῾Τοις αγγελοις αυτου εντελειται περι σου του διαφυλαξαι σε,' 11 και,[20] ῾Επι
χειρων αρουσιν σε, μηποτε προσκοψης προς λιθον τον ποδα σου'." 12 Και αποκριθεις ειπεν
αυτω ὁ Ιησους ὅτι "Ειρηται, ῾Ουκ εκπειρασεις Κυριον τον Θεον σου'."

13 Και συντελεσας παντα πειρασμον ὁ διαβολος απεστη απ' αυτου αχρι καιρου.

### [Jesus begins His public ministry][21]

**4.14** Και ὑπεστρεψεν ὁ[22] Ιησους εν τη δυναμει του Πνευματος εις την Γαλιλαιαν, και φημη
εξηλθεν καθ' ὅλης της περιχωρου περι αυτου· 15 και αυτος εδιδασκεν εν ταις συναγωγαις
αυτων, δοξαζομενος ὑπο παντων.

### *[His home town rejects Him]*

**16** Και ηλθεν εις την[23] Ναζαρετ,[24] οὗ ἦν τεθραμμενος· και εισηλθεν, κατα το ειωθος
αυτω, εν τη ἡμερα των σαββατων εις την συναγωγην, και ανεστη αναγνωναι. 17 Και

---

[1] πληρης πνευματος αγιου **f[35]** $P^{4,7,75v}$ אB,D [40%] CP,NU || ~ 231 A [60%] RP,HF,TR

[2] εις την ερημον **f[35]** A,D [99%] CP,RP,HF,TR || εν τη ερημω $P^{4,7}$ אB [1%] NU

[3] τεσσαρακοντα **f[35]** D [99.5%] CP,RP,HF,TR || τεσσερακοντα $P^{7}$A,B [0.5%] NU || μ $P^{75}$א

[4] υστερον **f[35]** A [99%] CP,RP,HF,TR || --- אB,D [1%] NU

[5] και ειπεν **f[35]** A [99%] CP,RP,HF,TR || ειπεν δε אB,D [1%] NU

[6] ιησους προς αυτον λεγων **f[35]** A [96%] CP,RP,HF,TR || ο ιησους προς αυτον λεγων D [3%] || προς αυτον ο ιησους אB [1%] NU

[7] ζησεται **f[35]** [70%] CP,RP,HF || ζησεται ο אA,B [30%] TR,NU

[8] αλλ επι παντι ρηματι θεου **f[35]** A(D) (92.2%) CP,RP,HF,TR || αλλ επι παντι ρηματι εκπορευομενω δια στοματος θεου (7.3%) || --- אB,W (0.4%) NU

[9] ο διαβολος εις ορος υψηλον **f[35]** A [99%] CP,RP,HF,TR || --- אB [1%] NU

[10] εμου **f[35]** אB,D [50%] CP,RP,HF,NU || μου A [50%] TR

[11] σοι **f[35]** [25%] || σου אA,B,D [75%] CP,HF,TR,NU

[12] πασα **f[35]** אA,B,D [95%] CP,RP,HF,NU || παντα [5%] TR [It will be observed that this is the third variant set within the space of four words, and within these sets the attestation varies considerably. In the main, the copyists tried to reproduce faithfully what was in front of them.]

[13] αυτω ειπεν ο ιησους **f[35]** [90%] CP,RP,HF,TR || ~ 3421 א [5%] NU || ~ 2134 A [3%] || ~ 342 D [2%] || 124 B

[14] υπαγε οπισω μου σατανα **f[35]** A [98%] CP,RP,HF,TR || --- אB,D [2%] NU

[15] γεγραπται **f[35]** אA,B,D [70%] CP,RP,HF,NU || 1 γαρ [30%] TR

[16] προσκυνησεις κυριον τον θεον σου **f[35]** A [70%] CP,RP,HF,TR || ~ 23451 אB,D [30%] NU

[17] και ηγαγεν **f[35]** A [99%] CP,RP,HF,TR || ηγαγεν δε אB [1%] NU

[18] αυτον **f[35]** A [99%] CP,RP,HF,TR || --- אB [1%] NU

[19] ει **f[35]** אA,B,D [98%] CP,RP,HF,NU || ει ο [2%] TR

[20] και **f[35]** D [55%] CP,RP,HF || και οτι אA,B [45%] TR,NU

[21] [A number of months elapsed between verses 13 and 14; John 1:15-4:42 records some of what transpired during that interval.]

[22] ο **f[35]** אA,B,D [75%] CP,RP,HF,TR,NU || --- [25%]

[23] την **f[35]** A [95%] CP,RP,HF,TR || --- אB,W [5%] NU

[24] ναζαρετ **f[35]** [75%] CP,RP,HF,TR || ναζαρεθ W [23%] || ναζαρα אB [1%] NU || ναζαρατ A [1%]

επεδοθη αυτω βιβλιον Ησαιου του προφητου·[1] και αναπτυξας το βιβλιον, εὗρεν τον τοπον
οὗ ἦν γεγραμμενον: 18 "Πνευμα Κυριου επ' εμε, οὗ εἵνεκεν[2] εχρισεν με ευαγγελισασθαι[3]
πτωχοις. Απεσταλκεν με ιασασθαι τους συντετριμμενους την καρδιαν,[4] κηρυξαι αιχμαλωτοις
αφεσιν και τυφλοις αναβλεψιν, αποστειλαι τεθραυσμενους εν αφεσει, 19 κηρυξαι ενιαυτον
Κυριου δεκτον."

["Today this Scripture is fulfilled"]

**20** Και πτυξας το βιβλιον, αποδους τω ὑπηρετη, εκαθισεν. Και παντων εν τη
συναγωγη οἱ οφθαλμοι ησαν[5] ατενιζοντες αυτω. 21 Ηρξατο δε λεγειν προς αυτους ὁτι
"Σημερον πεπληρωται ἡ γραφη αὑτη εν τοις ωσιν ὑμων." 22 Και παντες εμαρτυρουν αυτω
και εθαυμαζον επι τοις λογοις της χαριτος τοις εκπορευομενοις εκ του στοματος αυτου, και
ελεγον, "Ουχ[6] οὗτος εστιν ὁ υἱος Ιωσηφ?"[7] 23 Και ειπεν προς αυτους: "Παντως ερειτε μοι
την παραβολην ταυτην, 'Ιατρε, θεραπευσον σεαυτον· ὁσα ηκουσαμεν γενομενα εν τη[8]
Καπερναουμ[9] ποιησον και ὡδε[10] εν τη πατριδι σου'."

[Jesus treads on their toes]

**24** Ειπεν δε: "Αμην λεγω ὑμιν[11] ὁτι ουδεις προφητης δεκτος εστιν εν τη πατριδι
αυτου. 25 Επ' αληθειας δε λεγω ὑμιν, πολλαι χηραι ησαν εν ταις ἡμεραις Ηλιου εν τω
Ισραηλ, ὁτε εκλεισθη ὁ ουρανος επι ετη τρια και μηνας ἑξ, ὡς εγενετο λιμος μεγας επι
πασαν την γην· 26 και προς ουδεμιαν αυτων επεμφθη Ηλιας ει μη εις Σαρεπτα της
Σιδωνος[12] προς γυναικα χηραν. 27 Και πολλοι λεπροι ησαν επι Ελισσαιου[13] του προφητου
εν τω Ισραηλ·[14] και ουδεις αυτων εκαθαρισθη ει μη Νεεμαν[15] ὁ Συρος."

[Typical mob action]

**28** Και επλησθησαν παντες θυμου εν τη συναγωγη ακουοντες ταυτα, 29 και
ανασταντες εξεβαλον αυτον εξω της πολεως και ηγαγον αυτον ἑως[16] οφρυος του ορους εφ' οὗ
ἡ πολις αυτων ωκοδομητο,[17] εις το[18] κατακρημνισαι αυτον. 30 Αυτος δε διελθων δια μεσου
αυτων επορευετο.

*[Capernaum becomes His base of operations—27 AD]*

**31** Και κατηλθεν εις Καπερναουμ,[19] πολιν της Γαλιλαιας· και ἦν διδασκων αυτους
εν τοις σαββασιν. 32 Και εξεπλησσοντο επι τη διδαχη αυτου, ὁτι εν εξουσια ἦν ὁ λογος
αυτου.

[A demonized man]

**33** Και εν τη συναγωγη ἦν ανθρωπος εχων πνευμα δαιμονιου ακαθαρτου· και
ανεκραξεν φωνη μεγαλη 34 λεγων:[1] "Εα! Τί ἡμιν και σοι, Ιησου Ναζαρηνε? Ηλθες

---

1 ησαιου του προφητου **$f^{35}$** A [95%] CP,RP,HF,TR || ~ 231 ℵB [5%] NU
2 εινεκεν **$f^{35}$** ℵ(A)B [95%] CP,RP,HF,NU || ενεκεν [5%] TR
3 ευαγγελισασθαι **$f^{35}$** ℵA,B,D [98%] CP,RP,HF,NU || ευαγγελιζεσθαι [2%] TR
4 ιασασθαι τους συντετετριμμενους την καρδιαν **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
5 εν τη συναγωγη οι οφθαλμοι ησαν **$f^{35}$** [90%] CP,RP,HF,TR || ~ 123645 A [5%] || ~ 451236 ℵB [5%] NU
6 ουχ **$f^{35}$** A [95%] CP,RP,HF,TR || ουχι ℵB [5%] NU
7 ουτος εστιν ο υιος ιωσηφ **$f^{35}$** A [95%] CP,RP,HF,TR || ~ 4251 ℵB [5%] NU
8 εν τη **$f^{35}$** [90%] CP,RP,HF,TR || εν A [5%] || εις την ℵB [5%] NU
9 καπερναυμ **$f^{35}$** A [95%] CP,RP,HF,TR || καφαρναυμ ℵB [5%] NU
10 ὧδε [60%] || ὧδε **$f^{35}$** [40%] (I include this information for the record, and so as not to lose sight of it; since there is no contrast in meaning here, and I am not aware that the Autographs contained 'breathing' marks, I stay with the conventional spelling. However, it may be noted that the difference between ὧ δε ('so to whom') and ὧδε ('here') would be indistinct in most MSS; the simple expedient reflected in **$f^{35}$** resolves the ambiguity.)
11 λεγω υμιν **$f^{35}$** ℵB [95%] CP,RP,HF,TR,NU || ~ 21 A [5%]
12 σιδωνος **$f^{35}$** [95%] CP,RP,HF,TR || σιδωνιας ℵA,B,C [5%] NU
13 ελισσαιου **$f^{35}$** C [95%] CP,RP,HF,TR || ελισαιου ℵA,B [5%] NU
14 επι ελισσαιου του προφητου εν τω ισραηλ **$f^{35}$** A [95%] CP,RP,HF,TR || ~ 5671234 ℵB,C [5%] NU
15 νεεμαν **$f^{35}$** [95%] CP,RP,HF,TR || ναιμαν ℵA,B,C [5%] NU
16 εως **$f^{35}$** ℵA,B,C [95%] CP,RP,HF,NU || εως και D [5%] TR
17 αυτων ωκοδομητο **$f^{35}$** A,C [95%] CP,RP,HF,TR || ~ 21 ℵB [5%] NU
18 εις το **$f^{35}$** A,C [95%] CP,RP,HF,TR || ωστε ℵB [5%] NU
19 καπερναυμ **$f^{35}$** A,C [95%] CP,RP,HF,TR || καφαρναυμ ℵB [5%] NU

απολεσαι ἡμας? Οιδα σε τίς εἶ, ὁ Ἁγιος του Θεου!" 35 Και επετιμησεν αυτω ὁ Ιησους λεγων, "Φιμωθητι και εξελθε εξ[2] αυτου!" Και ῥιψαν αυτον το δαιμονιον εις[3] μεσον εξηλθεν απ' αυτου, μηδεν βλαψαν αυτον. 36 Και εγενετο θαμβος επι παντας, και συνελαλουν προς αλληλους λεγοντες, "Τίς ὁ λογος οὑτος, ὁτι εν εξουσια και δυναμει επιτασσει τοις ακαθαρτοις πνευμασιν, και εξερχονται?" 37 Και εξεπορευετο ηχος περι αυτου εις παντα τοπον της περιχωρου.

[Peter's mother-in-law]

**38** Αναστας δε εκ[4] της συναγωγης εισηλθεν εις την οικιαν Σιμωνος. Πενθερα δε[5] του Σιμωνος ἠν συνεχομενη πυρετω μεγαλω, και ηρωτησαν αυτον περι αυτης. 39 Και επιστας επανω αυτης επετιμησεν τω πυρετω, και αφηκεν αυτην· παραχρημα δε αναστασα διηκονει αυτοις.

[Healings at sunset]

**40** Δυνοντος δε του ἡλιου, παντες[6] ὁσοι ειχον ασθενουντας νοσοις ποικιλαις ηγαγον αυτους προς αυτον· ὁ δε ἑνι ἑκαστω αυτων τας χειρας επιθεις εθεραπευσεν[7] αυτους.
41 Εξηρχετο δε και δαιμονια απο πολλων, κραζοντα[8] και λεγοντα ὁτι "Συ εἶ ὁ Χριστος[9] ὁ Υἱος του Θεου!" Και επιτιμων ουκ εια αυτα λαλειν, ὁτι ηδεισαν τον Χριστον αυτον ειναι.

**42** Γενομενης δε ἡμερας εξελθων επορευθη εις ερημον τοπον, και οἱ οχλοι εζητουν[10] αυτον και ηλθον ἑως αυτου, και κατειχον αυτον του μη πορευεσθαι απ' αυτων. 43 Ὁ δε ειπεν προς αυτους ὁτι "Και ταις ἑτεραις πολεσιν ευαγγελισασθαι με δει την βασιλειαν του Θεου, ὁτι εις[11] τουτο απεσταλμαι."[12] 44 Και ἠν κηρυσσων εν ταις συναγωγαις[13] της Γαλιλαιας.[14]

*[By the sea]*

**5.1** Εγενετο δε εν τω τον οχλον επικεισθαι αυτω του[15] ακουειν τον λογον του Θεου και αυτος ἠν ἑστως περι[16] την λιμνην Γεννησαρετ,[17] 2 και ειδεν δυο πλοια ἑστωτα παρα την λιμνην· οἱ δε ἁλιεις αποβαντες απ' αυτων[18] απεπλυναν[19] τα δικτυα. 3 Εμβας δε εις ἑν των πλοιων, ὃ ἠν του[20] Σιμωνος, ηρωτησεν αυτον απο της γης επαναγαγειν ολιγον. Και καθισας[21] εδιδασκεν εκ του πλοιου[22] τους οχλους.

*[A miraculous catch]*

---

1 λεγων **f35** A,C [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
2 εξ **f35** P75A,C [90%] CP,RP,HF,TR || απ ℵB [10%] NU
3 εις **f35** D [60%] CP,RP,HF || 1 το P75vℵB,C [40%] TR,NU
4 εκ **f35** A [95%] CP,RP,HF,TR || απο P75ℵB,C [5%] NU
5 πενθερα δε **f35** ℵA,B,D [90%] CP,RP,HF,NU || η δε πενθερα C [5%] || η πενθερα δε [5%] TR
6 παντες **f35** ℵA [95%] CP,RP,HF,TR || απαντες B,C [5%] NU
7 τας χειρας επιθεις εθεραπευσεν **f35** A [95%] CP,RP,HF,TR || ~3124 ℵC [4%] || τας χειρας επιτιθεις εθεραπευεν B [1%] NU
8 κραζοντα **f35** B,C [70%] CP,RP,HF,TR || κραυγαζοντα A,D [30%] [NU] || κραζοντων ℵ
9 ο χριστος **f35** A [95%] CP,RP,HF,TR || --- P75ℵB,C [5%] NU
10 εζητουν **f35** [20%] CP,TR || επεζητουν P75ℵA,B,C,D [80%] RP,HF,NU
11 εις **f35** A,C [95%] CP,RP,HF,TR || επι P75ℵB [5%] NU
12 απεσταλμαι **f35** A [95%] CP,RP,HF,TR || απεσταλην P75ℵB,C [5%] NU
13 εν ταις συναγωγαις **f35** A,C (98.1%) CP,RP,HF,TR || εις τας συναγωγας P75ℵB,D,W (1.8%) NU
14 γαλιλαιας **f35** A,D (95%) CP,RP,HF,TR || ιουδαιας P75ℵB,C (4.1%) NU || ιουδαιων W
15 του **f35** C [95%] CP,RP,HF,TR || και P75ℵA,B [5%] NU
16 περι **f35** [20%] || παρα P75ℵA,B,D [80%] CP,RP,HF,TR,NU
17 γεννησαρετ **f35 1/3** P75ℵA,B,C [85%] CP,RP,HF,TR,NU || γενησαρετ **f35 2/3** [15%]
18 αναβαντες απ αυτων **f35** A [95%] CP,RP,HF,TR || ~231 P75B,C [4%] NU || ~31 ℵ [1%]
19 απεπλυναν **f35** A [95%] CP,RP,HF,TR || επλυναν ℵC [3%] || επλυνον B [2%] NU
20 του **f35** A,C [95%] CP,RP,HF,TR || --- P75ℵB [5%] NU
21 και καθισας **f35** A,C [95%] CP,RP,HF,TR || καθισας δε P75ℵB [5%] NU
22 εδιδασκεν εκ του πλοιου **f35** A,C [95%] CP,RP,HF,TR || ~2341 P75B [3%] NU || εν τω πλοιω εδιδασκεν ℵ [2%]

**4** ῾Ως δε επαυσατο λαλων, ειπεν προς τον Σιμωνα, "Επαναγαγε εις το βαθος και
χαλασατε τα δικτυα ὑμων εις αγραν." 5 Και αποκριθεις ὁ Σιμων ειπεν αυτω,[1] "Επιστατα,
δι’ ὁλης της[2] νυκτος κοπιασαντες ουδεν ελαβομεν, επι δε τω ῥηματι σου χαλασω το
δικτυον."[3] 6 Και τουτο ποιησαντες συνεκλεισαν πληθος ιχθυων[4] πολυ, διερρηγνυτο[5] δε το
δικτυον[6] αυτων. 7 Και κατενευσαν τοις μετοχοις τοις[7] εν τω ἑτερω πλοιω του ελθοντας
συλλαβεσθαι αυτοις. Και ηλθον και επλησαν αμφοτερα τα πλοια ὡστε βυθιζεσθαι αυτα.
8 Ιδων δε Σιμων Πετρος προσεπεσεν τοις γονασιν Ιησου[8] λεγων, "Εξελθε απ’ εμου, ὁτι
ανηρ ἁμαρτωλος ειμι, Κυριε." 9 Θαμβος γαρ περιεσχεν αυτον και παντας τους συν αυτω επι
τη αγρα των ιχθυων ᾗ[9] συνελαβον· 10 ὁμοιως δε και Ιακωβον και Ιωαννην, υἱους
Ζεβεδαιου, οἳ ησαν κοινωνοι τω Σιμωνι. Και ειπεν προς τον Σιμωνα ὁ Ιησους, "Μη
φοβου· απο του νυν ανθρωπους εση ζωγρων." 11 Και καταγαγοντες τα πλοια επι την γην,
αφεντες ἁπαντα[10] ηκολουθησαν αυτω.

[A leper]

**12** Και εγενετο εν τω ειναι αυτον εν μια των πολεων, και ιδου ανηρ πληρης
λεπρας. Και ιδων[11] τον Ιησουν, πεσων επι προσωπον εδεηθη αυτου λεγων, "Κυριε, εαν
θελης δυνασαι με καθαρισαι." 13 Και εκτεινας την χειρα ἡψατο αυτου ειπων,[12] "Θελω,
καθαρισθητι." Και ευθεως ἡ λεπρα απηλθεν απ’ αυτου. 14 Και αυτος παρηγγειλεν αυτω
μηδενι ειπειν, "Αλλα απελθων δειξον σεαυτον τω ἱερει και προσενεγκε[13] περι του
καθαρισμου σου καθως προσεταξεν Μωσης,[14] εις μαρτυριον αυτοις."

15 Διηρχετο δε μαλλον ὁ λογος περι αυτου· και συνηρχοντο οχλοι πολλοι ακουειν
και θεραπευεσθαι ὑπ’ αυτου[15] απο των ασθενειων αυτων. 16 Αυτος δε ἦν ὑποχωρων εν ταις
ερημοις και προσευχομενος.

*[An examining council]*

**17** Και εγενετο εν μια των ἡμερων και αυτος ἦν διδασκων, και ησαν καθημενοι
Φαρισαιοι και νομοδιδασκαλοι, οἳ ησαν εληλυθοτες εκ πασης κωμης της Γαλιλαιας και
Ιουδαιας και ῾Ιερουσαλημ· και δυναμις Κυριου ἦν εις το ιασθαι αυτους.[16]

["Your sins are forgiven"]

**18** Και ιδου, ανδρες φεροντες επι κλινης ανθρωπον ὃς ἦν παραλελυμενος, και
εζητουν αυτον εισενεγκειν και θειναι[17] ενωπιον αυτου. 19 Και μη εὑροντες πως[18]
εισενεγκωσιν αυτον, δια τον οχλον, αναβαντες επι το δωμα δια των κεραμων καθηκαν
αυτον συν τω κλινιδιω εις το μεσον εμπροσθεν του Ιησου. 20 Και ιδων την πιστιν αυτων
ειπεν αυτω,[19] "Ανθρωπε, αφεωνται σοι αἱ ἁμαρτιαι σου."

[A ’discussion’ ensues]

---

[1] ο σιμων ειπεν αυτω $f^{35}$ A,C [95%] CP,RP,HF,TR || σιμων ειπεν $P^{75}$B [4%] NU || ειπεν σιμων ℵ [1%]
[2] της $f^{35}$ C [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵA,B [5%] NU
[3] το δικτυον $f^{35}$ A,C [95%] CP,RP,HF,TR || τα δικτυα $P^{75v}$ℵB [5%] NU
[4] πληθος ιχθυων $f^{35}$ $P^{75}$ℵA,B,C [96%] CP,RP,HF,NU || ~ 21 [4%] TR
[5] διερρηγνυτο $f^{35}$ (A) [95%] CP,RP,HF,TR || διερρησσετο $P^{75v}$ℵ(B) [5%] NU || διερρητο C
[6] το δικτυον $f^{35}$ A,C [95%] CP,RP,HF,TR || τα δικτυα $P^{75}$ℵB [5%] NU
[7] τοις $f^{35}$ A,C [95%] CP,RP,HF,TR || --- $P^{75v}$ℵB [5%] NU
[8] ιησου $f^{35}$ $P^{4,75}$ℵB [70%] CP,RP,HF,NU || του ιησου A,C,D [30%] TR
[9] η $f^{35}$ ℵA,C [95%] CP,RP,HF,TR || ων $P^{75}$B [5%] NU
[10] απαντα $f^{35}$ A,C [95%] CP,RP,HF,TR || παντα ℵB [5%] NU
[11] και ιδων $f^{35}$ A,C [95%] CP,RP,HF,TR || ιδων δε ℵB [5%] NU
[12] ειπων $f^{35}$ A [95%] CP,RP,HF,TR || λεγων (ℵ)B,C [5%] NU
[13] προσενεγκε $f^{35^{1/3}}$ A,B,C,D [85%] CP,RP,HF,TR,NU || προσενεγκαι $f^{35^{2/3}}$ ℵ [15%]
[14] μωσης $f^{35}$ A [74%] HF,TR || μωυσης ℵB,C(D)W [26%] NU
[15] υπ (απ A) αυτου $f^{35}$ (A) [95%] CP,RP,HF,TR || --- ℵB,C [5%] NU
[16] αυτους $f^{35}$ A,C,D (98.5%) lat,syr,bo,Diat,CP,RP,HF,TR || αυτον ℵB,W (0.9%) sa,NU (Why would the editors of NU choose such an inferior reading?)
[17] θειναι $f^{35}$ ℵA,C [99%] CP,RP,HF,TR || θειναι αυτον B [1%] [NU]
[18] πως $f^{35}$ [38%] || ποιας ℵA,B,C,D,W [53%] CP,RP,HF,NU || ποθεν [5%] || δια ποιας [2%] TR || ποιας οδου [2%]
[19] αυτω $f^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU || τω παραλυτικω C

**21** Και ηρξαντο διαλογιζεσθαι οἱ γραμματεις και οἱ Φαρισαιοι λεγοντες: "Τίς εστιν
οὑτος ὃς λαλει βλασφημιας? Τίς δυναται αφιεναι ἁμαρτιας[1] ει μη μονος ὁ Θεος?"
22 Επιγνους δε ὁ Ιησους τους διαλογισμους αυτων, αποκριθεις ειπεν προς αυτους: "Τί
διαλογιζεσθε εν ταις καρδιαις ὑμων? 23 Τί εστιν ευκοπωτερον ειπειν, 'Αφεωνται σοι αἱ
ἁμαρτιαι σου,' ἢ ειπειν, 'Εγειραι[2] και περιπατει?' 24 Ἵνα δε ειδητε ὁτι εξουσιαν εχει ὁ
Υἱος του Ανθρωπου[3] επι της γης αφιεναι ἁμαρτιας"—ειπεν τω παραλελυμενω, "Σοι λεγω,
εγειραι,[4] και αρας το κλινιδιον σου πορευου εις τον οικον σου."

[God is glorified]

**25** Και παραχρημα αναστας ενωπιον αυτων, αρας εφ' ᾧ[5] κατεκειτο, απηλθεν εις τον
οικον αυτου δοξαζων τον Θεον. 26 Και εκστασις ελαβεν ἁπαντας και εδοξαζον τον Θεον,
και επλησθησαν φοβου λεγοντες ὁτι "Ειδομεν παραδοξα σημερον!"

*[Enter Levi (Matthew)]*

**27** Και μετα ταυτα εξηλθεν και εθεασατο τελωνην ονοματι Λευιν καθημενον επι το
τελωνιον, και ειπεν αυτω, "Ακολουθει μοι." 28 Και καταλιπων ἁπαντα[6] αναστας
ηκολουθησεν[7] αυτω. 29 Και εποιησεν δοχην μεγαλην[8] Λευις αυτω εν τη οικια αυτου· και ἦν
οχλος τελωνων πολυς[9] και αλλων οἳ ησαν μετ' αυτων κατακειμενοι.

[The Pharisees have a problem]

**30** Και εγογγυζον οἱ γραμματεις αυτων, και οἱ Φαρισαιοι,[10] προς τους μαθητας
αυτου λεγοντες, "Δια τί μετα των[11] τελωνων και ἁμαρτωλων εσθιετε και πινετε?" 31 Και
αποκριθεις ὁ Ιησους ειπεν προς αυτους: "Ου χρειαν εχουσιν οἱ ὑγιαινοντες ιατρου, αλλ'[12]
οἱ κακως εχοντες. 32 Ουκ εληλυθα καλεσαι δικαιους αλλα ἁμαρτωλους εις μετανοιαν."

**33** Οἱ δε ειπον προς αυτον, "Δια τί[13] οἱ μαθηται Ιωαννου νηστευουσιν πυκνα και
δεησεις ποιουνται, ὁμοιως και οἱ των Φαρισαιων, οἱ δε σοι εσθιουσιν και πινουσιν?"
34 Ὁ δε[14] ειπεν προς αυτους: "Μη δυνασθε τους υἱους του νυμφωνος εν ᾧ ὁ νυμφιος μετ'
αυτων εστιν ποιησαι νηστευειν?[15] 35 Ελευσονται δε ἡμεραι και[16] ὁταν απαρθη απ' αυτων ὁ
νυμφιος· τοτε νηστευσουσιν εν εκειναις ταις ἡμεραις."

[New wine X old wineskins]

**36** Ελεγεν δε και παραβολην προς αυτους ὁτι "Ουδεις επιβλημα[17] ἱματιου καινου[18]
επιβαλλει επι ἱματιον παλαιον· ει δε μη γε, και το καινον σχιζει[19] και τω παλαιω ου

---

[1] αφιεναι αμαρτιας $\mathbf{f^{35}}$ ℵA,C [98%] CP,RP,HF,TR || αμαρτιας αφειναι B [2%] NU
[2] εγειραι $\mathbf{f^{35}}$ [55%] CP,RP,HF,TR || εγειρε ℵA,B,C,D [45%] NU
[3] εξουσιαν εχει ο υιος του ανθρωπου $\mathbf{f^{35}}$ ℵA,C [99%] CP,RP,HF,TR || ~ 345612 B [1%] NU
[4] εγειραι $\mathbf{f^{35}}$ [55%] CP,RP,HF,TR || εγειρε ℵA,B,C,D [45%] NU
[5] ω $\mathbf{f^{35}}$ D [60%] CP,TR || ο ℵA,B,C [40%] RP,HF,NU
[6] απαντα $\mathbf{f^{35}}$ A [97%] CP,RP,HF,TR || απαντας ℵ [1%] || παντας C [1%] || παντα B [1%] NU
[7] ηκολουθησεν $\mathbf{f^{35}}$ ℵA,C [99%] CP,RP,HF,TR || ηκολουθει B [1%] NU
[8] μεγαλην $\mathbf{f^{35}}$ ℵA,B,C [98%] CP,RP,HF,NU || μεγαλην ο [2%] TR
[9] τελωνων πολυς $\mathbf{f^{35}}$ A [95%] CP,RP,HF,TR || ~ 21 ℵB,C [5%] NU
[10] γραμματεις αυτων και οι φαρισαιοι $\mathbf{f^{35}}$ A [95%] CP,RP,HF,TR || ~ 53412 B,C [4%] NU || ~ 5341 ℵ [1%] (Render, "the scribes and Pharisees complained about them to His disciples.")
[11] των $\mathbf{f^{35}}$ ℵA,B,C,D [82%] CP,RP,HF,NU || --- [18%] TR
[12] αλλ || αλλα [ ] NU
[13] δια τι $\mathbf{f^{35}}$ ℵA,C,D [98%] lat,syr,Diat,CP,RP,HF,TR || --- $P^4$B,W [2%] cop,NU
[14] δε $\mathbf{f^{35}}$ A [96%] CP,RP,HF,TR || δε ιησους $P^4$ℵB,C,D [4%] NU
[15] νηστευειν $\mathbf{f^{35}}$ ℵA,C [98%] CP,RP,HF,TR || νηστευσαι B [2%] NU
[16] και $\mathbf{f^{351/3}}$ A,B [85%] CP,RP,HF,TR,NU || --- $\mathbf{f^{352/3}}$ ℵC [15%]
[17] επιβλημα $\mathbf{f^{35}}$ A,C [96%] CP,RP,HF,TR || επιβλημα απο $P^4$ℵB,D [4%] NU
[18] καινου $\mathbf{f^{35}}$ A,C [96%] CP,RP,HF,TR || καινου σχισας ℵB [4%] NU
[19] σχιζει $\mathbf{f^{35}}$ A [95%] CP,RP,HF,TR || σχισει ℵB,C [5%] NU

συμφωνει[1] το απο του καινου. 37 Και ουδεις βαλλει οινον νεον εις ασκους παλαιους· ει δε
μη γε, ῥηξει ὁ νεος οινος[2] τους ασκους, και αυτος εκχυθησεται και οἱ ασκοι απολουνται.
38 Αλλα οινον νεον εις ασκους καινους βλητεον και αμφοτεροι συντηρουνται.[3] 39 Και[4]
ουδεις πιων παλαιον ευθεως[5] θελει νεον· λεγει γαρ, ‘Ὁ παλαιος χρηστοτερος[6] εστιν’.”

*[Jesus is Lord of the Sabbath]*

**6.1** Εγενετο δε εν σαββατω δευτεροπρωτω[7] διαπορευεσθαι αυτον δια των[8] σποριμων·
και ετιλλον οἱ μαθηται αυτου τους σταχυας και ησθιον[9] ψωχοντες ταις χερσιν. 2 Τινες δε
των Φαρισαιων ειπον αυτοις,[10] “Τί ποιειτε ὃ ουκ εξεστιν ποιειν[11] εν[12] τοις σαββασιν?”
3 Και αποκριθεις προς αυτους ειπεν ὁ Ιησους: “Ουδε τουτο ανεγνωτε ὃ εποιησεν Δαυιδ
ὁποτε[13] επεινασεν αυτος και οἱ μετ’ αυτου οντες?[14] 4 Ὡς[15] εισηλθεν εις τον οικον του Θεου
και τους αρτους της προθεσεως ελαβεν και[16] εφαγεν και εδωκεν και[17] τοις μετ’ αυτου, οὓς
ουκ εξεστιν φαγειν ει μη μονους τους ἱερεις?” 5 Και ελεγεν αυτοις ὅτι[18] “Κυριος εστιν ὁ
Υἱος του Ανθρωπου και του σαββατου.”[19]

[He heals on the Sabbath]

**6** Εγενετο δε και[20] εν ἑτερω σαββατω εισελθειν αυτον εις την συναγωγην και
διδασκειν. Και ἦν εκει ανθρωπος,[21] και ἡ χειρ αυτου ἡ δεξια ἦν ξηρα. 7 Παρετηρουν[22] δε[23]
οἱ γραμματεις και οἱ Φαρισαιοι ει[24] τω σαββατω θεραπευσει,[25] ἱνα εὑρωσιν κατηγοριαν[26]
αυτου. 8 Αυτος δε ηδει τους διαλογισμους αυτων και ειπεν[27] τω ανθρωπω[28] τω ξηραν
εχοντι την χειρα, “Εγειραι[29] και στηθι εις το μεσον.” Ὁ δε[30] αναστας εστη. 9 Ειπεν ουν[31]
ὁ Ιησους προς αυτους: “Επερωτησω[32] ὑμας τι·[33] Ἐξεστιν τοις σαββασιν[34] αγαθοποιησαι ἢ

---

[1] συμφωνει **f35** [60%] CP,RP,HF || συμφωνει επιβλημα D [5%] TR || συμφωνησει το επιβλημα P4ℵB,C [35%] NU || συμφωνησει A
[2] ο νεος οινος **f35** A [95%] CP,RP,HF,TR || ο οινος ο νεος P4B,C,D [5%] NU || ο οινος ℵ
[3] και αμφοτεροι συντηρουνται **f35** A,C(D) (98.7%) CP,RP,HF,TR || --- P4(ℵ)B(W) (1.1%) NU
[4] και **f35** ℵA,C [99%] CP,RP,HF,TR[NU] || --- B [1%]
[5] ευθεως **f35** A [95%] CP,RP,HF,TR || --- ℵB,C [5%] NU
[6] χρηστοτερος **f35** A,C [97%] CP,RP,HF,TR || χρηστος P4ℵB,W [3%] NU
[7] δευτεροπρωτω **f35** A,C,D (98.3%) CP,RP,HF,TR || --- P4ℵB,W (1.6%) NU
[8] των **f35** C,D [98%] CP,RP,HF,TR || --- ℵA,B [2%] NU
[9] τους σταχυας και ησθιον **f35** A,W [95%] CP,RP,HF,TR || ~ 3412 P4B,C [4%] NU || 234 ℵ [1%]
[10] αυτοις **f35** A [95%] CP,RP,HF,TR || --- ℵB,C [5%] NU
[11] ποιειν **f35** ℵA,C,W [98%] CP,RP,HF,TR || --- P4B(D) [2%] NU
[12] εν **f35** A,C [97%] CP,RP,HF,TR || --- ℵB [3%] NU
[13] οποτε **f35** A [95%] CP,RP,HF,TR || οτε ℵB,C [5%] NU
[14] οντες **f35** A,C [97%] CP,RP,HF,TR[NU] || --- ℵB [3%]
[15] ως **f35** ℵA,C [99%] CP,RP,HF,TR[NU] || --- B [1%]
[16] ελαβεν και **f35** A [90%] CP,RP,HF,TR || λαβων B,C [5%] NU || --- ℵ [5%]
[17] και **f35** ℵA,D [99%] CP,RP,HF,TR || --- B,W [1%] NU
[18] οτι **f35** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[19] ο υιος του ανθρωπου και του σαββατου **f35** A(D) [95%] CP,RP,HF,TR || ~ 671234 ℵB,W [5%] NU
[20] και **f35** A [95%] RP,HF,TR || --- ℵB [5%] CP,NU
[21] εκει ανθρωπος **f35** A [95%] CP,RP,HF,TR || ~ 21 ℵB [5%] NU
[22] παρετηρουν **f35** ℵ [95%] CP,RP,HF,TR || παρετηρουντο A,B [5%] NU
[23] δε **f35** A [90%] CP,RP,HF || δε αυτον ℵB,D [10%] TR,NU
[24] ει **f35** D [25%] || 1 εν ℵA,B [75%] CP,RP,HF,TR,NU
[25] θεραπευσει **f35** B [95%] CP,RP,HF,TR || θεραπευει ℵA [5%] NU
[26] κατηγοριαν **f35** A [95%] CP,RP,HF,TR || κατηγορειν ℵB [5%] NU
[27] και ειπεν **f35** A [95%] CP,RP,HF,TR || ειπεν δε ℵB [5%] NU
[28] ανθρωπω **f35** A [95%] CP,RP,HF,TR || ανδρι ℵB [5%] NU
[29] εγειραι **f35** [50%] CP,RP,HF,TR || εγειρε P4ℵA,B [50%] NU
[30] ο δε **f35** A [95%] CP,RP,HF,TR || και ℵB [5%] NU
[31] ουν **f35** A [95%] CP,RP,HF,TR || δε ℵB [5%] NU
[32] επερωτησω **f35** A [95%] CP,RP,HF,TR || επερωτω ℵB [5%] NU
[33] τι **f35** A [95%] CP,RP,HF,TR || ει ℵB [5%] NU
[34] τοις σαββασιν **f35** A [95%] CP,RP,HF,TR || τω σαββατω ℵB [5%] NU

κακοποιησαι, ψυχην σωσαι ἢ αποκτειναι?’”[1] 10 Και περιβλεψαμενος παντας αυτους ειπεν
αυτω,[2] “Εκτεινον την χειρα σου.” Ὁ δε εποιησεν οὑτως[3] και αποκατεσταθη[4] ἡ χειρ αυτου
ὑγιης[5] ὡς ἡ αλλη.[6] 11 Αυτοι δε επλησθησαν ανοιας, και διελαλουν προς αλληλους τί αν
ποιησειαν[7] τω Ιησου.

*[Choosing the Twelve]*

**12** Εγενετο δε εν ταις ἡμεραις ταυταις εξηλθεν[8] εις το ορος προσευξασθαι, και ἦν
διανυκτερευων εν τη προσευχη του Θεου. 13 Και ὁτε εγενετο ἡμερα προσεφωνησεν τους
μαθητας αυτου, και εκλεξαμενος απ αυτων δωδεκα, οὓς και αποστολους ωνομασεν:
14 Σιμωνα, ὃν και ωνομασεν Πετρον, και Ανδρεαν τον αδελφον αυτου,[9] Ιακωβον και
Ιωαννην,[10] Φιλιππον και Βαρθολομαιον,[11] 15 Ματθαιον[12] και Θωμαν,[13] Ιακωβον, τον του[14]
Αλφαιου, και Σιμωνα, τον καλουμενον Ζηλωτην,[15] 16 Ιουδαν Ιακωβου και Ιουδαν
Ισκαριωτην,[16] ὃς και[17] εγενετο προδοτης.

*[A sermon on a level place]*

**17** Και καταβας μετ’ αυτων εστη επι τοπου πεδινου, και οχλος[18] μαθητων αυτου, και
πληθος πολυ του λαου απο πασης της Ιουδαιας και Ἱερουσαλημ, και της παραλιου Τυρου
και Σιδωνος, οἳ ηλθον ακουσαι αυτου και ιαθηναι απο των νοσων αυτων· 18 και οἱ
οχλουμενοι[19] ὑπο[20] πνευματων ακαθαρτων, και[21] εθεραπευοντο. 19 Και πας ὁ οχλος εζητει[22]
ἁπτεσθαι αυτου, ὁτι δυναμις παρ’ αυτου εξηρχετο και ιατο παντας.

[Blessings]

**20** Και αυτος επαρας τους οφθαλμους αυτου εις τους μαθητας αυτου ελεγεν:
“Μακαριοι οἱ πτωχοι, ὁτι ὑμετερα εστιν ἡ βασιλεια του Θεου. 21 Μακαριοι οἱ πεινωντες
νυν, ὁτι χορτασθησεσθε. Μακαριοι οἱ κλαιοντες νυν, ὁτι γελασετε. 22 Μακαριοι εστε ὁταν
μισησωσιν ὑμας οἱ ανθρωποι, και ὁταν αφορισωσιν ὑμας και ονειδισωσιν και εκβαλωσιν
το ονομα ὑμων ὡς πονηρον ἑνεκα του Υἱου του Ανθρωπου. 23 Χαρητε[23] εν εκεινη τη ἡμερα
και σκιρτησατε, ιδου γαρ ὁ μισθος ὑμων πολυς εν τω ουρανω· κατα ταυτα[24] γαρ εποιουν
τοις προφηταις οἱ πατερες αυτων.

[Woes]

24 “Πλην ουαι ὑμιν τοις πλουσιοις, ὁτι απεχετε την παρακλησιν ὑμων. 25 Ουαι
ὑμιν οἱ εμπεπλησμενοι,[25] ὁτι πεινασετε. Ουαι ὑμιν[1] οἱ γελωντες νυν, ὁτι πενθησετε και

---

[1] αποκτειναι **f**$^{35}$ A [70%] CP,RP,HF || απολεσαι ℵB,D [30%] TR,NU
[2] αυτω **f**$^{35}$ $P^{4}$A,B [75%] CP,RP,HF,NU || τω ανθρωπω ℵD [25%] TR
[3] ουτως **f**$^{35}$ [25%] CP, TR || --- ℵA,B,D [75%] RP,HF,NU
[4] αποκατεσταθη **f**$^{35}$ B [50%] CP,RP,HF,TR || απεκατεσταθη A,D [49%] NU || απεκατεστη ℵ [1%]
[5] υγιης **f**$^{35}$ [95%] CP,RP,HF,TR || --- ℵA,B [5%] NU
[6] ως η αλλη **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[7] ποιησειαν **f**$^{35}$ [95%] CP,RP,HF,TR || ποιησαιεν $P^{75}$B [2%] NU || ποιησειεν ℵA [3%]
[8] εξηλθεν **f**$^{35}$ [95%] CP,RP,HF,TR || εξελθειν αυτον ℵA,B [5%] NU
[9] αυτου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || αυτου και ℵB [5%] NU
[10] ιωαννην **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ιωαννην και ℵB [5%] NU
[11] βαρθολομαιον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || βαρθολομαιον και ℵB [5%] NU
[12] ματθαιον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || μαθθαιον ℵB [5%] NU
[13] θωμαν **f**$^{35}$ A,B [95%] CP,RP,HF,TR || θωμαν και ℵ [5%] NU
[14] τον του **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[15] ζηλωτην **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ζηλωτην και $P^{75v}$ℵB [5%] NU
[16] ισκαριωτην **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ισκαριωθ ℵB [5%] NU
[17] και **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[18] οχλος **f**$^{35}$ A [95%] CP,RP,HF,TR || οχλος πολυς $P^{75}$ℵB [5%] NU
[19] οχλουμενοι **f**$^{35}$ [95%] CP,RP,HF,TR || ενοχλουμενοι $P^{75}$ℵA,B [5%] NU
[20] υπο **f**$^{35}$ [85%] CP,RP,HF,TR || απο $P^{75}$ℵA,B,D [15%] NU
[21] και **f**$^{35}$ [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵA,B [5%] NU
[22] εζητει **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εζητουν $P^{75}$ℵB [5%] NU
[23] χαρητε **f**$^{35}$ ℵA,B,D [97%] CP,RP,HF,NU || χαιρετε [3%] TR
[24] ταυτα **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || τα αυτα $P^{75}$B [3%] NU
[25] εμπεπλησμενοι **f**$^{35}$ A,D [92%] CP,RP,HF,TR || εμπεπλησμενοι νυν $P^{75}$ℵB [8%] NU

κλαυσετε. 26 Ουαι[2] ὁταν καλως ειπωσιν ὑμας[3] παντες οἱ ανθρωποι,[4] κατα ταυτα[5] γαρ εποιουν τοις ψευδοπροφηταις οἱ πατερες αυτων.

[Instructions]

**27** "Αλλα[6] ὑμιν λεγω τοις ακουουσιν: Αγαπατε τους εχθρους ὑμων, καλως ποιειτε τοις μισουσιν ὑμας, 28 ευλογειτε τους καταρωμενους ὑμας,[7] προσευχεσθε ὑπερ[8] των επηρεαζοντων ὑμας. 29 Τω τυπτοντι σε επι την σιαγονα παρεχε και την αλλην, και απο του αιροντος σου το ἱματιον και τον χιτωνα μη κωλυσης. 30 Παντι δε τω[9] αιτουντι σε διδου, και απο του αιροντος τα σα μη απαιτει. 31 Και καθως θελετε ἱνα ποιωσιν ὑμιν οἱ ανθρωποι, και ὑμεις[10] ποιειτε αυτοις ὁμοιως. 32 Και ει αγαπατε τους αγαπωντας ὑμας, ποια ὑμιν χαρις εστιν? Και γαρ οἱ ἁμαρτωλοι τους αγαπωντας αυτους αγαπωσιν. 33 Και[11] εαν αγαθοποιητε τους αγαθοποιουντας ὑμας, ποια ὑμιν χαρις εστιν? Και γαρ[12] οἱ ἁμαρτωλοι το αυτο ποιουσιν. 34 Και εαν δανειζητε[13] παρ' ὡν ελπιζετε απολαβειν,[14] ποια ὑμιν χαρις εστιν?[15] Και γαρ[16] ἁμαρτωλοι ἁμαρτωλοις δανειζουσιν ἱνα απολαβωσιν τα ισα.

[Be merciful]

35 "Πλην αγαπατε τους εχθρους ὑμων και αγαθοποιειτε και δανειζετε,[17] μηδεν απελπιζοντες· και εσται ὁ μισθος ὑμων πολυς, και εσεσθε υἱοι[18] Ὑψιστου· ὁτι αυτος χρηστος εστιν επι τους αχαριστους και πονηρους. 36 Γινεσθε ουν[19] οικτιρμονες, καθως και[20] ὁ Πατηρ ὑμων οικτιρμων εστιν.

[We get what we give]

**37** "Και μη κρινετε, και ου μη κριθητε.[21] Μη καταδικαζετε, και ου μη καταδικασθητε. Απολυετε, και απολυθησεσθε. 38 Διδοτε, και δοθησεται ὑμιν· μετρον καλον, πεπιεσμενον και[22] σεσαλευμενον και[23] ὑπερεκχυνομενον[24] δωσουσιν εις τον κολπον ὑμων. Τω γαρ αυτω μετρω ᾧ[25] μετρειτε αντιμετρηθησεται ὑμιν."

**39** Ειπεν δε[26] παραβολην αυτοις: "Μητι δυναται τυφλος τυφλον ὁδηγειν? Ουχι αμφοτεροι εις βοθυνον πεσουνται? 40 Ουκ εστιν μαθητης ὑπερ τον διδασκαλον αυτου,[27]

---

[1] υμιν $f^{35}$ $P^{75}$A [98%] CP,RP,HF,TR || --- ℵB [2%] NU
[2] ουαι $f^{35}$ $P^{75v}$ℵA,B [96%] CP,RP,HF,NU || ουαι υμιν D [4%] TR
[3] καλως ειπωσιν υμας $f^{35}$ ℵA (22%) CP || ~ 132 D,Q,W (76.1%) RP,HF,TR || ~ 312 $P^{75}$B (0.2%) NU || 12 (1.2%)
[4] παντες οι ανθρωποι $f^{35}$ $P^{75v}$A,B,Q (39.5%) TR,NU || ~ 231 ℵ (0.2%) || 23 D (59.3%) CP,RP,HF || 13 W (0.6%) || --- (0.4%)
[5] ταυτα $f^{35}$ ℵA [98%] CP,RP,HF,TR || τα αυτα $P^{75}$B [2%] NU
[6] αλλα $f^{35}$ ℵA,B,D [75%] CP || αλλ [25%] RP,HF,TR,NU
[7] υμας $f^{35}$ ℵA,B,D [50%] NU || υμιν $P^{75v}$ [47%] CP,RP,HF || υμιν και [3%] TR
[8] υπερ $f^{35}$ A [95%] CP,RP,HF,TR || περι $P^{75}$ℵB [5%] NU
[9] δε τω $f^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[10] και υμεις $f^{35}$ ℵA,D,W [98%] CP,RP,HF,TR || --- B [2%] NU
[11] και $f^{35}$ A [95%] CP,RP,HF,TR || και γαρ $P^{75}$ℵB [5%] NU
[12] γαρ $f^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[13] δανειζητε $f^{35}$ [65%] CP,RP,HF,TR || δανειζετε 204 [26%] || δανιζετε A,D [7%] || δανισητε B [0.5%] NU || δανεισητε [0.5%] || δανισηται ℵW || three further variants
[14] απολαβειν $f^{35}$ A [95%] CP,RP,HF,TR || λαβειν ℵB [5%] NU
[15] εστιν $f^{35}$ ℵA [98%] CP,RP,HF,TR[NU] || --- $P^{45,75}$B [2%]
[16] γαρ $f^{35\,2/3}$ A,D [60%] CP,RP,HF || γαρ οι $f^{35\,1/3}$ [37%] TR || --- $P^{75}$ℵB [3%] NU
[17] δανειζετε || δανιζετε [ ] NU
[18] υιοι $f^{35}$ ℵA,B,D [90%] CP,RP,HF,NU || υιοι του [10%] TR
[19] ουν $f^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[20] και $f^{35}$ A [95%] CP,RP,HF,TR[NU] || --- ℵB [5%]
[21] κριθητε $f^{35}$ A,C [95%] CP,RP,HF,TR || κριθητε και ℵB [5%] NU
[22] και $f^{35}$ A,C [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[23] και $f^{35}$ A,C [95%] CP,RP,HF,TR || --- $P^{45}$ℵB [5%] NU
[24] υπερεκχυνομενον $f^{35}$ $P^{75}$ [95%] CP,RP,HF,TR || υπερεκχυννομενον ℵA,B,C [5%] NU
[25] τω γαρ αυτω μετρω ω $f^{35}$ A,C (92%) CP,RP,HF,TR || 1245 (5.9%) || 1345 $P^{45}$ (0.7%) || ~ 524 ℵB,D,W (1.1%) NU
[26] δε $f^{35}$ $P^{45}$A [95%] CP,RP,HF,TR || δε και ℵB,C [5%] NU
[27] αυτου $f^{35}$ A,C [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

κατηρτισμενος δε πας εσται ὡς ὁ διδασκαλος αυτου. 41 Τί δε βλεπεις το καρφος το εν τω
οφθαλμω του αδελφου σου, την δε δοκον την εν τω ιδιω οφθαλμω ου κατανοεις? 42 Ἢ
πως[1] δυνασαι λεγειν τω αδελφω σου, 'Αδελφε, αφες εκβαλω το καρφος το εν τω οφθαλμω
σου', αυτος την εν τω οφθαλμω σου δοκον ου βλεπων? Ὑποκριτα! Εκβαλε πρωτον την δοκον
εκ του οφθαλμου σου, και τοτε διαβλεψεις εκβαλειν το καρφος το εν τω οφθαλμω του
αδελφου σου.[2]

[A tree is known by its fruit]

**43** "Ου γαρ εστιν δενδρον καλον ποιουν καρπον σαπρον, ουδε[3] δενδρον σαπρον
ποιουν καρπον καλον. 44 Ἑκαστον γαρ δενδρον εκ του ιδιου καρπου γινωσκεται. Ου γαρ εξ
ακανθων συλλεγουσιν συκα, ουδε εκ βατου τρυγωσιν σταφυλην.[4] 45 Ὁ αγαθος ανθρωπος εκ
του αγαθου θησαυρου της καρδιας αυτου[5] προφερει το αγαθον, και ὁ πονηρος ανθρωπος[6] εκ
του πονηρου θησαυρου της καρδιας αυτου[7] προφερει το πονηρον. Εκ γαρ του[8] περισσευματος
της[9] καρδιας λαλει το στομα αυτου.

[Two foundations]

**46** "Τί δε με καλειτε, 'Χυριε, Χυριε', και ου ποιειτε ἃ λεγω? 47 Πας ὁ ερχομενος
προς με και ακουων μου των λογων και ποιων αυτους, ὑποδειξω ὑμιν τινι εστιν ὁμοιος:
48 ὁμοιος εστιν ανθρωπω οικοδομουντι οικιαν ὃς εσκαψεν και εβαθυνεν και εθηκεν
θεμελιον επι την πετραν. Πλημμυρας[10] δε γενομενης, προσερρηξεν[11] ὁ ποταμος τη οικια
εκεινη, και ουκ ισχυσεν σαλευσαι αυτην, τεθεμελιωτο γαρ επι την πετραν.[12] 49 Ὁ δε
ακουσας και μη ποιησας ὁμοιος εστιν ανθρωπω οικοδομησαντι την[13] οικιαν επι την γην
χωρις θεμελιου, ᾗ προσερρηξεν[14] ὁ ποταμος, και ευθεως[15] επεσεν·[16] και εγενετο το ῥηγμα
της οικιας εκεινης μεγα."

*[The faith of a centurion]*

**7.1** Επει δε[17] επληρωσεν παντα τα ῥηματα αυτου εις τας ακοας του λαου, εισηλθεν
εις Καπερναουμ.[18] 2 Ἑκατονταρχου δε τινος δουλος κακως εχων εμελλεν[19] τελευταν, ὃς ἠν
αυτω εντιμος. 3 Ακουσας δε περι του Ιησου απεστειλεν προς αυτον πρεσβυτερους των
Ιουδαιων, ερωτων αυτον ὁπως ελθων διασωση τον δουλον αυτου. 4 Οἱ δε παραγενομενοι
προς τον Ιησουν παρεκαλουν αυτον σπουδαιως λεγοντες ὁτι "Αξιος εστιν ᾧ παρεξει[20] τουτο,
5 αγαπα γαρ το εθνος ἡμων και την συναγωγην αυτος ωκοδομησεν ἡμιν. 6 Ὁ δε Ιησους
επορευετο συν αυτοις.

---

1 η πως **f**$^{35}$ A,C$^{v}$ [95%] CP,RP,HF,TR || πως B [3%] NU || πως δε א [2%]

2 εκβαλειν το καρφος το εν τω οφθαλμω του αδελφου σου **f**$^{35}$ אA,C [98%] CP,RP,HF,TR || ~ 23456789101 P$^{75}$B [2%] NU

3 ουδε **f**$^{35}$ A,C [95%] CP,RP,HF,TR || ουδε παλιν P$^{75}$אB [5%] NU

4 τρυγωσιν σταφυλην **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 אB,C [5%] NU

5 αυτου **f**$^{35}$ A,C [95%] CP,RP,HF,TR || --- P$^{75}$אB [5%] NU

6 ανθρωπος **f**$^{35}$ A,C [95%] CP,RP,HF,TR || --- P$^{75}$אB [5%] NU

7 θησαυρου της καρδιας αυτου **f**$^{35}$ A,C [95%] CP,RP,HF,TR || --- P$^{75v}$אB [5%] NU

8 του **f**$^{35}$ C [90%] CP,RP,HF,TR || --- אA,B,D [10%] NU

9 της **f**$^{35}$ C [95%] CP,RP,HF,TR || --- אA,B [5%] NU

10 πλημμυρας **f**$^{35}$ A,C [98%] CP,RP,HF,TR || πλημυρας P$^{75}$ [1%] || πλημμυρης אB [1%] NU

11 προσερρηξεν **f**$^{35}$ P$^{75}$A,C [98%] CP,RP,HF,TR || προσερηξεν אB [2%] NU

12 τεθεμελιωτο γαρ επι την πετραν **f**$^{35}$ A,C,D [97%] CP,RP,HF,TR || δια το καλως οικοδομησθαι αυτην אB,W [3%] NU

13 την **f**$^{35}$ P$^{75}$ [30%] || --- אA,B,C [70%] CP,RP,HF,TR,NU (The reading of **f**$^{35}$ has the earliest attestation.)

14 προσερρηξεν **f**$^{35}$ P$^{75}$אA,C [99%] CP,RP,HF,TR || προσερηξεν B [1%] NU

15 ευθεως **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ευθυς P$^{45,75}$אB,C [5%] NU

16 επεσεν **f**$^{35}$ A,C [95%] CP,RP,HF,TR || συνεπεσεν P$^{45,75}$אB [5%] NU

17 επει δε **f**$^{35}$ א [95%] CP,RP,HF,TR || επειδη A,B,C [5%] NU

18 καπερναουμ **f**$^{35}$ A [95%] CP,RP,HF,TR || καφαρναουμ אB,C [5%] NU

19 εμελλεν **f**$^{35}$ [40%] CP,RP,HF || ημελλεν P$^{75}$אA,B,C,D [60%] TR,NU

20 παρεξει **f**$^{35}$ [90%] CP,RP,HF,TR || παρεξη אA,B,C [10%] NU

Ηδη δε αυτου ου μακραν απεχοντος απο της οικιας, επεμψεν προς αυτον[1] ὁ
ἑκατονταρχος φιλους[2] λεγων αυτω: "Κυριε, μη σκυλλου, ου γαρ ειμι ἱκανος[3] ἱνα μου ὑπο
την στεγην[4] εισελθης. 7 Διο ουδε εμαυτον ηξιωσα προς σε ελθειν. Αλλ'[5] ειπε λογω και
ιαθησεται[6] ὁ παις μου. 8 Και γαρ εγω ανθρωπος ειμι ὑπο εξουσιαν τασσομενος, εχων ὑπ'
εμαυτον στρατιωτας. Και λεγω τουτω, 'Πορευθητι', και πορευεται· και αλλω, 'Ερχου', και
ερχεται· και τω δουλω μου, 'Ποιησον τουτο', και ποιει."

**9** Ακουσας δε ταυτα ὁ Ιησους εθαυμασεν αυτον, και στραφεις τω ακολουθουντι αυτω
οχλω ειπεν, "Λεγω ὑμιν, ουδε[7] εν τω Ισραηλ τοσαυτην πιστιν εὑρον!" 10 Και
ὑποστρεψαντες οἱ πεμφθεντες εις τον οικον[8] εὑρον τον ασθενουντα[9] δουλον ὑγιαινοντα.

*[A widow's son raised]*

**11** Και εγενετο εν τη[10] ἑξης, επορευετο[11] εις πολιν καλουμενην Ναιν, και
συνεπορευοντο αυτω[12] οἱ μαθηται αυτου ἱκανοι,[13] και οχλος πολυς. 12 Ὡς δε ηγγισεν τη
πυλη της πολεως και ιδου, εξεκομιζετο τεθνηκως, υἱος μονογενης[14] τη μητρι αυτου, και
αυτη[15] χηρα, και οχλος της πολεως ἱκανος[16] συν αυτη. 13 Και ιδων αυτην ὁ Κυριος
εσπλαγχνισθη επ' αυτη και ειπεν αυτη, "Μη κλαιε". 14 Και προσελθων ἡψατο της σορου,
οἱ δε βασταζοντες εστησαν. Και ειπεν, "Νεανισκε, σοι λεγω, εγερθητι". 15 Και ανεκαθισεν
ο νεκρος και ηρξατο λαλειν, και εδωκεν αυτον τη μητρι αυτου.

16 Ελαβεν δε φοβος παντας[17] και εδοξαζον τον Θεον, λεγοντες ὁτι "Προφητης μεγας
εγηγερται[18] εν ἡμιν", και ὁτι "Επεσκεψατο ὁ Θεος τον λαον αυτου". 17 Και εξηλθεν ὁ
λογος οὑτος εν ὁλη τη Ιουδαια περι αυτου και εν[19] παση τη περιχωρω.

*[Messengers from John]*

**18** Και απηγγειλαν Ιωαννη οἱ μαθηται αυτου περι παντων τουτων. 19 Και
προσκαλεσαμενος δυο τινας των μαθητων αυτου ο Ιωαννης επεμψεν προς τον Ιησουν[20]
λεγων, "Συ εἶ ὁ Ερχομενος, ἡ αλλον προσδοκωμεν?"

20 Παραγενομενοι δε προς αυτον οἱ ανδρες ειπον: "Ιωαννης ὁ Βαπτιστης
απεσταλκεν[21] ἡμας προς σε λεγων, 'Συ εἶ ὁ Ερχομενος, ἡ αλλον προσδοκωμεν?'" 21 Εν αυτη
δε[22] τη ὡρα εθεραπευσεν πολλους απο νοσων και μαστιγων και πνευματων πονηρων, και
τυφλοις πολλοις εχαρισατο το[23] βλεπειν.

---

[1] προς (επ A) αυτον **f**$^{35}$ A,C [95%] CP,RP,HF,TR || --- P$^{75}$אB [5%] NU
[2] ο εκατονταρχος φιλους **f**$^{35}$ P$^{45v}$A [95%] CP,RP,HF,TR || ~312 אC [4%] || φιλους ο εκατονταρχης B [1%] NU
[3] ειμι ικανος **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || ικανος ειμι (μι א) P$^{75v}$אB [3%] NU
[4] μου υπο την στεγην **f**$^{35}$ אC,D [60%] CP,RP,HF || ~2341 A,B [40%] TR,NU
[5] all [95%] || alla [5%] NU
[6] ιαθησεται **f**$^{35}$ אA,C,D,W [98%] CP,RP,HF,TR || ιαθητω P$^{75v}$B [2%] NU
[7] ουδε **f**$^{35}$ אA,B,C,D [70%] TR,NU || ουτε [30%] CP,RP,HF
[8] οι πεμφθεντες εις τον οικον **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || ~34512 P$^{75v}$אB [3%] NU
[9] ασθενουντα **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || --- P$^{75}$אB,W [3%] NU
[10] τη **f**$^{35}$ אC,D,W [50%] CP,TR || τω P$^{75}$A,B [50%] RP,HF,NU
[11] επορευετο **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || επορευθη P$^{75}$אB [3%] NU
[12] αυτω **f**$^{352/3}$ P$^{75}$אB,C [90%] CP,RP,HF,TR,NU || --- **f**$^{351/3}$ A [10%]
[13] ικανοι **f**$^{35}$ A,C (98.9%) CP,RP,HF,TR || --- P$^{75}$אB,D,W (1%) NU
[14] υιος μονογενης **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || ~21 P$^{75v}$אB [3%] NU
[15] αυτη **f**$^{35}$ A [95%] CP,RP,HF,TR || αυτη ην P$^{75}$אB,C [5%] NU
[16] ικανος **f**$^{35}$ A,C [85%] CP,RP,HF,TR || ικανος ην P$^{75}$אB [15%] NU
[17] παντας **f**$^{35}$ P$^{75}$B,D [80%] CP,RP,HF,NU || απαντας אA,C [20%] TR
[18] εγηγερται **f**$^{35}$ [95%] CP,RP,HF,TR || ηγερθη P$^{75}$אA,B,C [5%] NU
[19] εν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$אB [5%] NU
[20] ιησουν **f**$^{35}$ אA,W [98%] CP,RP,HF,TR || κυριον B [2%] NU
[21] απεσταλκεν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || απεστειλεν P$^{75v}$אB [5%] NU
[22] αυτη δε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εκεινη P$^{75v}$אB [5%] NU
[23] το **f**$^{35}$ [75%] CP,RP,HF,TR || --- אA,B,D [25%] NU

22 Και αποκριθεις ὁ Ιησους[1] ειπεν αυτοις: “Πορευθεντες απαγγειλατε Ιωαννη ἃ
ειδετε και ηκουσατε· ὅτι[2] τυφλοι αναβλεπουσιν, χωλοι περιπατουσιν, λεπροι καθαριζονται,[3]
κωφοι ακουουσιν, νεκροι εγειρονται, πτωχοι ευαγγελιζονται. 23 Και μακαριος εστιν ὃς εαν
μη σκανδαλισθη εν εμοι!”

*[Jesus praises John]*

**24** Απελθοντων δε των αγγελων Ιωαννου ηρξατο λεγειν τοις οχλοις[4] περι Ιωαννου:
“Τί εξεληλυθατε[5] εις την ερημον θεασασθαι, καλαμον ὑπο ανεμου σαλευομενον? 25 Αλλα τί
εξεληλυθατε[6] ιδειν, ανθρωπον εν μαλακοις ἱματιοις ημφιεσμενον? Ιδου, οἱ εν ἱματισμω
ενδοξω και τρυφη ὑπαρχοντες εν τοις βασιλειοις εισιν. 26 Αλλα τί εξεληλυθατε[7] ιδειν,
προφητην? Ναι λεγω ὑμιν, και περισσοτερον προφητου. 27 Οὑτος εστιν περι οὗ γεγραπται:
‘Ἰδου, εγω[8] αποστελλω τον αγγελον μου προ προσωπου σου, ὃς κατασκευασει την ὁδον σου
εμπροσθεν σου.’ 28 Λεγω γαρ[9] ὑμιν, μειζων εν γεννητοις γυναικων προφητης[10] Ιωαννου του
Βαπτιστου[11] ουδεις εστιν, ὁ δε μικροτερος εν τη βασιλεια του Θεου μειζων αυτου εστιν.”
29 (Και πας ὁ λαος ακουσας και οἱ τελωναι εδικαιωσαν τον Θεον, βαπτισθεντες το
βαπτισμα Ιωαννου. 30 Οἱ δε Φαρισαιοι και οἱ νομικοι την βουλην του Θεου ἠθετησαν εις
ἑαυτους, μη βαπτισθεντες ὑπ’ αυτου.)

*[Inconsistency of the Pharisees]*

**31** “Τίνι[12] ουν ὁμοιωσω τους ανθρωπους της γενεας ταυτης, και τίνι εισιν ὁμοιοι?
32 Ὁμοιοι εισιν παιδιοις τοις εν αγορα καθημενοις και προσφωνουσιν αλληλοις και
λεγουσιν,[13] ‘Ηυλησαμεν ὑμιν, και ουκ ωρχησασθε· εθρηνησαμεν ὑμιν,[14] και ουκ εκλαυσατε.’
33 Εληλυθεν γαρ Ιωαννης ὁ Βαπτιστης μητε[15] αρτον εσθιων[16] μητε οινον πινων,[17] και
λεγετε, ‘Δαιμονιον εχει’. 34 Εληλυθεν ὁ Υἱος του Ανθρωπου εσθιων και πινων, και λεγετε,
‘Ἰδου, ανθρωπος φαγος και οινοποτης, φιλος τελωνων[18] και ἁμαρτωλων!’ 35 Και εδικαιωθη
ἡ σοφια απο των τεκνων αυτης παντων.”[19]

*[A lesson in forgiveness]*

**36** Ηρωτα δε τις αυτον των Φαρισαιων ἱνα φαγη μετ’ αυτου, και εισελθων εις την
οικιαν[20] του Φαρισαιου ανεκλιθη.[21] 37 Και ιδου, γυνη εν τη πολει ἡτις ἦν[22] ἁμαρτωλος,
και[23] επιγνουσα ὁτι ανακειται[24] εν τη οικια του Φαρισαιου, κομισασα αλαβαστρον μυρου

---

[1] ο ιησους $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- אB [5%] NU
[2] οτι $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75v}$אB [5%] NU
[3] καθαριζονται $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || καθαριζονται και $P^{75}$אB [5%] NU
[4] τοις οχλοις $\mathbf{f}^{35}$ א [50%] CP,RP,HF || προς τους οχλους A,B [50%]TR,NU || προς του οχλου $P^{75}$
[5] εξεληλυθατε $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || εξηλθατε $P^{75}$(א)A,B [10%] NU
[6] εξεληλυθατε $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || εξηλθατε (א)A,B [10%] NU
[7] εξεληλυθατε $\mathbf{f}^{35}$ A [90%] CP,RP,HF,TR || εξηλθατε $P^{75}$(א)B [10%] NU
[8] εγω $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- אB [5%] NU
[9] λεγω γαρ $\mathbf{f}^{35}$ A [94%] CP,RP,HF,TR || λεγω B [2%] NU || αμην λεγω א [2%] || λεγω δε D,W [2%]
[10] προφητης $\mathbf{f}^{35}$ A(D) [95%] CP,RP,HF,TR || --- $P^{75}$אB,W [5%] NU
[11] του βαπτιστου $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$אB [5%] NU
[12] τινι $\mathbf{f}^{35}$ אA,B,D [99%] CP,RP,HF,NU || ειπεν δε ο κυριος τινι [1%] TR
[13] και λεγουσιν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || α λεγει אB [5%] NU
[14] υμιν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- אB [5%] NU
[15] μητε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || μη אB [5%] NU
[16] αρτον εσθιων $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 א [5%] NU || εσθων αρτον B
[17] οινον πινων $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 אB [5%] NU
[18] φιλος τελωνων $\mathbf{f}^{35}$ אA,B,D [98%] CP,RP,HF,NU || ~ 21 [2%] TR
[19] των τεκνων αυτης παντων $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 4123 B [5%] NU || παντων των εργων αυτης א
[20] την οικιαν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || τον οικον אB [5%] NU
[21] ανεκλιθη $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || κατεκλιθη B [5%] NU || κατεκειτο א
[22] εν τη πολει ητις ην $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 45123 אB [5%] NU
[23] και $\mathbf{f}^{35}$ אA,B [60%] NU || --- D [40%] CP,RP,HF,TR
[24] ανακειται $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || κατακειται אA,B [5%] NU

38 και στασα παρα τους ποδας αυτου οπισω[1] κλαιουσα, ηρξατο βρεχειν τους ποδας αυτου
τοις δακρυσιν[2] και ταις θριξιν της κεφαλης αυτης εξεμασσεν, και κατεφιλει τους ποδας
αυτου και ηλειφεν τω μυρω.
39 Ιδων δε ὁ Φαρισαιος ὁ καλεσας αυτον ειπεν εν ἑαυτω λεγων, "Οὑτος, ει ἠν
προφητης, εγινωσκεν αν τίς και ποταπη ἡ γυνη ἡτις ἁπτεται αυτου, ὁτι ἁμαρτωλος εστιν."
40 Και αποκριθεις ὁ Ιησους ειπεν προς αυτον, "Σιμων, εχω σοι τι ειπειν". Ὁ δε φησιν,
"Διδασκαλε, ειπε".[3]
**41** "Δυο χρεωφειλεται[4] ησαν δανειστη[5] τινι. Ὁ εἱς ωφειλεν δηναρια πεντακοσια, ὁ
δε ἑτερος πεντηκοντα. 42 Μη εχοντων δε[6] αυτων αποδουναι, αμφοτεροις εχαρισατο. Τίς ουν
αυτων, ειπε,[7] πλειον αυτον αγαπησει?"[8] 43 Αποκριθεις δε ὁ Σιμων[9] ειπεν, "'Υπολαμβανω
ὁτι ᾡ το πλειον εχαρισατο." Ὁ δε ειπεν αυτω, "Ορθως εκρινας".
44 Και στραφεις προς την γυναικα τω Σιμωνι εφη: "Βλεπεις ταυτην την γυναικα?
Εισηλθον σου εις την οικιαν, ὑδωρ επι τους ποδας μου[10] ουκ εδωκας· αὑτη δε τοις
δακρυσιν εβρεξεν μου τους ποδας και ταις θριξιν της κεφαλης[11] αυτης εξεμαξεν. 45 Φιλημα
μοι ουκ εδωκας· αὑτη δε αφ' ἡς εισηλθον ου διελιπεν[12] καταφιλουσα μου τους ποδας.
46 Ελαιω την κεφαλην μου ουκ ηλειψας· αὑτη δε μυρω ηλειψεν μου τους ποδας.[13] 47 Οὑ
χαριν, λεγω σοι, αφεωνται αἱ ἁμαρτιαι αυτης αἱ πολλαι, ὁτι ηγαπησεν πολυ· ᾡ δε ολιγον
αφιεται, ολιγον αγαπα."
48 Ειπεν δε αυτη, "Αφεωνται σου αἱ ἁμαρτιαι". 49 Και ηρξαντο οἱ συνανακειμενοι
λεγειν εν ἑαυτοις, "Τίς οὑτος εστιν ὃς και ἁμαρτιας αφιησιν?" 50 Ειπεν δε προς την
γυναικα, "'Η πιστις σου σεσωκεν σε· πορευου εις ειρηνην."

*[Women provide for Jesus]*

**8.1** Και εγενετο εν τω καθεξης και αυτος διωδευεν κατα πολιν και κωμην κηρυσσων
και ευαγγελιζομενος την βασιλειαν του Θεου, και οἱ δωδεκα συν αυτω, 2 και γυναικες
τινες αἱ ησαν τεθεραπευμεναι απο πνευματων πονηρων και ασθενειων, Μαρια ἡ καλουμενη
Μαγδαληνη, αφ' ἡς δαιμονια ἑπτα εξεληλυθει, 3 και Ιωαννα γυνη Χουζα επιτροπου
Ἡρωδου, και Σωσαννα,[14] και ἑτεραι πολλαι, αἱτινες διηκονουν αυτω[15] απο[16] των
ὑπαρχοντων αυταις.

*[Parable of the soils]*

**4** Συνιοντος δε οχλου πολλου και των κατα πολιν επιπορευομενων προς αυτον, ειπεν
δια παραβολης: 5 "Εξηλθεν ὁ σπειρων του σπειραι τον σπορον αυτου·[17] και εν τω σπειρειν
αυτον ὃ μεν επεσεν παρα την ὁδον, και κατεπατηθη· και τα πετεινα του ουρανου κατεφαγεν
αυτο. 6 Και ἑτερον επεσεν[18] επι την πετραν, και φυεν εξηρανθη δια το μη εχειν ικμαδα.

---

[1] παρα τους ποδας αυτου οπισω $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || ~ 51234 ℵB [5%] NU || παρα τους ποδας του ιησου οπισω A

[2] ηρξατο βρεχειν τους ποδας αυτου τοις δακρυσιν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 6712345 ℵB [5%] NU

[3] φησιν διδασκαλε ειπε $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || ~ 231 ℵB [5%] NU || εφη διδασκαλε ειπε A

[4] χρεωφειλεται $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || χρεοφειλεται ℵA,B [10%] NU

[5] δανειστη $\mathbf{f}^{35}$ $B^{c}$ [90%] CP,RP,HF,TR || δανιστη ℵA,B,D,W [10%] NU

[6] δε $\mathbf{f}^{35}$ ℵA [98%] CP,RP,HF,TR || --- B [2%] NU

[7] ειπε $\mathbf{f}^{35}$ (A) [95%] CP,RP,HF,TR || --- $P^{3}$ℵBD,W [5%] NU

[8] πλειον αυτον αγαπησει $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 132 $P^{3}$ℵB,W [5%] NU || ~ 213 D lat

[9] δε ο σιμων $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || 13 ℵ [3%] || 3 B [2%] NU

[10] επι τους ποδας μου $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 4123 ℵ [3%] || μοι επι ποδας B [2%] NU

[11] της κεφαλης $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || --- ℵA,B,D [10%] NU

[12] διελιπεν $\mathbf{f}^{35}$ B,D [90%] CP,RP,HF,TR,NU || διελειπεν ℵA [10%]

[13] μου τους ποδας $\mathbf{f}^{35}$ ℵ [90%] CP,RP,HF,TR || ~ 231 A,B [10%] NU

[14] σωσαννα $\mathbf{f}^{35}$ [30%] CP,HF || σουσαννα ℵ$A^{v}$,B,D [70%] RP,TR,NU

[15] αυτω $\mathbf{f}^{35}$ ℵA [50%] CP,TR || αυτοις B,D,W [50%] RP,HF,NU

[16] απο $\mathbf{f}^{35}$ [93%] CP,RP,HF,TR || εκ ℵA,B,D [7%] NU

[17] αυτου $\mathbf{f}^{35}$ ℵB [92%] RP,HF,TR,NU || εαυτου A [8%] CP

[18] επεσεν $\mathbf{f}^{35}$ ℵA [95%] CP,RP,HF,TR || κατεπεσεν $P^{75}$B [5%] NU

7 Και ἑτερον επεσεν εν μεσω των ακανθων, και συμφυεισαι αἱ ακανθαι απεπνιξαν αυτο.
8 Και ἑτερον επεσεν εις[1] την γην την αγαθην, και φυεν εποιησεν καρπον
ἑκατονταπλασιονα.” Ταυτα λεγων εφωνει, “Ὁ εχων ωτα ακουειν ακουετω.”

*[The purpose of parables]*

9 Επηρωτων δε αυτον οἱ μαθηται αυτου λεγοντες,[2] “Τίς ειη ἡ παραβολη αὑτη?”[3]
10 Ὁ δε ειπεν: “‘Ὑμιν δεδοται γνωναι τα μυστηρια της βασιλειας του Θεου, τοις δε
λοιποις εν παραβολαις, ἱνα βλεποντες μη βλεπωσιν και ακουοντες μη συνιωσιν.

*[The parable of the soils explained]*

11 “Εστιν δε αὑτη ἡ παραβολη: Ὁ σπορος εστιν ὁ λογος του Θεου. 12 Οἱ δε παρα
την ὁδον εισιν οἱ ακουοντες·[4] ειτα ερχεται ὁ διαβολος και αιρει τον λογον απο της
καρδιας αυτων, ἱνα μη πιστευσαντες σωθωσιν. 13 Οἱ δε επι της πετρας οἵ, ὁταν ακουσωσιν,
μετα χαρας δεχονται τον λογον· και οὑτοι ῥιζαν ουκ εχουσιν, οἳ προς καιρον πιστευουσιν
και εν καιρω πειρασμου αφιστανται. 14 Το δε εις τας ακανθας πεσον, οὑτοι εισιν οἱ
ακουσαντες, και ὑπο μεριμνων και πλουτου και ἡδονων του βιου πορευομενοι συμπνιγονται,
και ου τελεσφορουσιν. 15 Το δε εν τη καλη γη, οὑτοι εισιν οἵτινες εν καρδια καλη και
αγαθη ακουσαντες τον λογον κατεχουσιν και καρποφορουσιν εν ὑπομονη.”

*[All will be exposed]*

16 Ταυτα λεγων εφωνει: “‘Ὁ εχων ωτα ακουειν ακουετω.[5] Ουδεις δε λυχνον ἁψας
καλυπτει αυτον σκευει ἢ ὑποκατω κλινης τιθησιν, αλλ’ επι λυχνιας επιτιθησιν,[6] ἱνα οἱ
εισπορευομενοι βλεπωσιν το φως. 17 Ου γαρ εστιν κρυπτον ὃ ου φανερον γενησεται, ουδε
αποκρυφον ὃ ου γνωσθησεται[7] και εις φανερον ελθη. 18 Βλεπετε ουν πως ακουετε: Ὃς γαρ
εαν[8] εχη, δοθησεται αυτω, και ὃς εαν[9] μη εχη, και ὃ δοκει εχειν αρθησεται απ’ αυτου.”

*[Relationships redefined]*

19 Παρεγενοντο[10] δε προς αυτον ἡ μητηρ και οἱ αδελφοι αυτου, και ουκ ηδυναντο[11]
συντυχειν αυτω δια τον οχλον. 20 Και απηγγελη[12] αυτω λεγοντων,[13] “‘Ἡ μητηρ σου και οἱ
αδελφοι σου ἑστηκασιν εξω ιδειν σε θελοντες.”[14] 21 Ὁ δε αποκριθεις ειπεν προς αυτους,
“Μητηρ μου και αδελφοι μου οὑτοι εισιν, οἱ τον λογον του Θεου ακουοντες και ποιουντες
αυτον.”[15]

*[Jesus stills a storm]*

22 Και εγενετο[16] εν μια των ἡμερων και αυτος ενεβη εις πλοιον και οἱ μαθηται
αυτου, και ειπεν προς αυτους, “Διελθωμεν εις το περαν της λιμνης.” Και ανηχθησαν.
23 Πλεοντων δε αυτων αφυπνωσεν. Και κατεβη λαιλαψ ανεμου εις την λιμνην, και
συνεπληρουντο και εκινδυνευον. 24 Και προσελθοντες[17] διηγειραν αυτον λεγοντες,
“Επιστατα, επιστατα, απολλυμεθα!” Ὁ δε εγερθεις[18] επετιμησεν τω ανεμω και τω κλυδωνι

---

[1] εις $\mathbf{f}^{35}$ $P^{75}$ℵA,B [85%] CP,RP,HF,NU || επι D [15%] TR
[2] λεγοντες $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[3] ειη η παραβολη αυτη $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 4123 $P^{75}$ℵ [4%] NU || ~ 413 B [1%]
[4] ακουοντες $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ακουσαντες $P^{75}$ℵB [5%] NU
[5] ταυτα λεγων εφωνει ο εχων ωτα ακουειν ακουετω $\mathbf{f}^{35}$ [30%] CP || --- $P^{75}$ℵA,B,D [70%] RP,HF,TR,NU
[6] επιτιθησιν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || τιθησιν $P^{75}$ℵB [5%] NU
[7] γνωσθησεται $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || μη γνωσθη $P^{75}$ℵB [5%] NU
[8] ος γαρ εαν $\mathbf{f}^{35}$ A [40%] CP,RP,HF || ος γαρ αν D [59%] TR || ος αν γαρ ℵB [1%] NU || οσον γαρ $P^{75}$
[9] εαν $\mathbf{f}^{35}$ [60%] CP,RP,HF || αν $P^{75}$ℵA,B,D [40%] TR,NU
[10] παρεγενοντο $\mathbf{f}^{35}$ ℵA [98%] CP,RP,HF,TR || παρεγενετο $P^{75}$B [2%] NU
[11] ηδυναντο $\mathbf{f}^{351/3}$ $P^{75}$ℵA,B,D [90%] RP,HF,TR,NU || εδυναντο $\mathbf{f}^{352/3}$ [10%] CP
[12] και απηγγελη $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || απηγγελη δε ($P^{75}$)ℵB [5%] NU
[13] λεγοντων $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$B [4%] NU || οτι ℵ [1%]
[14] σε θελοντες $\mathbf{f}^{35}$ ℵA [98%] CP,RP,HF,TR || ~ 21 $P^{75}$B [2%] NU
[15] αυτον $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || --- $P^{75}$ℵA,B,D [10%] NU
[16] και εγενετο $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || εγενετο δε $P^{75}$ℵA,B,D [10%] NU
[17] και προσελθοντες $\mathbf{f}^{35}$ [20%] CP || προσελθοντες δε $P^{75v}$ℵA,B,D [80%] RP,HF,TR,NU
[18] εγερθεις $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || διεγερθεις $P^{75v}$ℵB [5%] NU

του ὑδατος· και επαυσαντο, και εγενετο γαληνη. 25 Ειπεν δε αυτοις, "Που εστιν[1] ἡ πιστις ὑμων?" Φοβηθεντες δε εθαυμασαν, λεγοντες προς αλληλους, "Τίς αρα οὗτος εστιν ὅτι και τοις ανεμοις επιτασσει και τω ὑδατι, και ὑπακουουσιν αυτω?"

*[Jesus handles demon infestation]*

**26** Και κατεπλευσαν εις την χωραν των Γαδαρηνων,[2] ἡτις εστιν αντιπεραν[3] της Γαλιλαιας. 27 Εξελθοντι δε αυτω επι την γην, ὑπηντησεν αυτω[4] ανηρ τις εκ της πολεως ὃς ειχεν[5] δαιμονια εκ χρονων ἱκανων. Και[6] ἱματιον ουκ ενεδιδυσκετο[7] και εν οικια ουκ εμενεν αλλ' εν τοις μνημασιν. 28 Ιδων δε τον Ιησουν και[8] ανακραξας, προσεπεσεν αυτω και φωνη μεγαλη ειπεν: "Τί εμοι και σοι, Ιησου, Υἱε του Θεου του Ὑψιστου? Δεομαι σου, μη με βασανισης!" 29 Παρηγγειλεν[9] γαρ τω πνευματι τω ακαθαρτω εξελθειν απο του ανθρωπου. Πολλοις γαρ χρονοις συνηρπακει αυτον, και εδεσμειτο[10] ἁλυσεσιν και πεδαις φυλασσομενος, και διαρρησσων τα δεσμα ηλαυνετο ὑπο του δαιμονος[11] εις τας ερημους. 30 Επηρωτησεν δε αυτον ὁ Ιησους λεγων,[12] "Τί σοι εστιν ονομα?"[13] Ὁ δε ειπεν, "Λεγεων",[14] ὅτι δαιμονια πολλα εισηλθεν[15] εις αυτον. 31 Και παρεκαλει[16] αυτον ἱνα μη επιταξη αυτοις εις την Αβυσσον απελθειν.

32 Ἠν δε εκει αγελη χοιρων ἱκανων βοσκομενων[17] εν τω ορει· και παρεκαλουν[18] αυτον ἱνα επιτρεψη αυτοις εις εκεινους εισελθειν, και επετρεψεν αυτοις. 33 Εξελθοντα δε τα δαιμονια απο του ανθρωπου εισηλθον[19] εις τους χοιρους, και ὡρμησεν ἡ αγελη κατα του κρημνου εις την λιμνην και απεπνιγη. 34 Ιδοντες δε οἱ βοσκοντες το γεγενημενον[20] εφυγον και[21] απηγγειλαν εις την πολιν και εις τους αγρους. 35 Εξηλθον δε ιδειν το γεγονος και ηλθον προς τον Ιησουν, και εὗρον καθημενον τον ανθρωπον αφ' οὗ τα δαιμονια εξεληλυθει[22] ἱματισμενον και σωφρονουντα παρα τους ποδας του Ιησου· και εφοβηθησαν. 36 Απηγγειλαν δε αυτοις και[23] οἱ ιδοντες πως εσωθη ὁ δαιμονισθεις. 37 Και ηρωτησαν[24] αυτον ἁπαν το πληθος της περιχωρου των Γαδαρηνων[25] απελθειν απ' αυτων, ὅτι φοβω μεγαλω συνειχοντο. Αυτος δε εμβας εις το[26] πλοιον ὑπεστρεψεν.

---

[1] εστιν **$f^{35}$** [95%] CP,RP,HF,TR || --- $P^{75v}$ℵA,B [5%] NU
[2] γαδαρηνων **$f^{35}$** A [95%] CP,RP,HF,TR || γερασηνων $P^{75}$B [4%] NU || γεργεσηνων ℵ [1%]
[3] αντιπεραν **$f^{35}$** [40%] CP,RP,HF,TR || αντιπερα $P^{75}$ℵA,B,D [60%] NU
[4] αυτω **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[5] ος ειχεν **$f^{35}$** A [99%] CP,RP,HF,TR || εχων $P^{75}$ℵB [1%] NU
[6] εκ χρονων ικανων και **$f^{35}$** A (99%) CP,RP,HF,TR || και χρονω ικανω $P^{75}$ℵB (1%) NU
[7] ιματιον ουκ ενεδιδυσκετο **$f^{35}$** A [99%] CP,RP,HF,TR || ουκ ενεδυσατο ιματιον $P^{75}$ℵB [1%] NU
[8] και **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[9] παρηγγειλεν **$f^{35}$** $P^{75}$B,D [95%] RP,HF,TR,NU || παρηγγελλε ℵA,C [5%] CP
[10] εδεσμειτο **$f^{35}$** A,C [95%] CP,RP,HF,TR || εδεσμευετο ℵB [5%] NU
[11] δαιμονος **$f^{35}$** A [95%] CP,RP,HF,TR || δαιμονιου $P^{75}$ℵB,C [5%] NU
[12] λεγων **$f^{35}$** A,C [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[13] σοι εστιν ονομα **$f^{35}$** A [95%] CP,RP,HF,TR || ~ 132 $P^{75v}$ℵB [3%] NU || ~ 31 C [2%]
[14] λεγεων **$f^{35}$** $P^{75}$A,C [98%] CP,RP,HF,TR || λεγιων ℵB [2%] NU
[15] δαιμονια πολλα εισηλθεν **$f^{35}$** A(C) [95%] CP,RP,HF,TR || ~ 312 $P^{75v}$ℵB [5%] NU
[16] παρεκαλει **$f^{35}$** A,D [92%] CP,RP,HF,TR || παρεκαλουν ℵB,C [8%] NU
[17] βοσκομενων **$f^{35}$** A,C [90%] CP,RP,HF,TR || βοσκομενη $P^{75}$ℵB [10%] NU
[18] παρεκαλουν **$f^{35}$** ℵA [95%] CP,RP,HF,TR || παρεκαλεσαν $P^{75}$B,C [5%] NU
[19] εισηλθον **$f^{35}$** $P^{75}$ℵA,B,C [90%] CP,RP,HF,NU || εισηλθεν [10%] TR
[20] γεγενημενον **$f^{35}$** [90%] RP,HF,TR || γενομενον [5%] CP || γεγονος ℵA,B,C [5%] NU
[21] και **$f^{35}$** $P^{75}$ℵA,B,C [99%] RP,HF,NU || και απελθοντες [1%] CP,TR
[22] εξεληλυθει **$f^{35}$** A,C [95%] CP,RP,HF,TR || εξηλθεν $P^{75}$ℵB [5%] NU
[23] και **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB,C [5%] NU
[24] ηρωτησαν **$f^{35}$** D [90%] CP,RP,HF,TR || ηρωτησεν $P^{75}$ℵA,B,C [10%] NU
[25] γαδαρηνων **$f^{35}$** A,W [95%] CP,RP,HF,TR || γερασηνων $P^{75}$B,C,D [4%] NU || γεργεσηνων ℵ [1%]
[26] το **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- ℵB,C [5%] NU

38 Εδεετο[1] δε αυτου ὁ ανηρ αφ’ οὗ εξεληλυθει τα δαιμονια ειναι συν αυτω.
Απελυσεν δε αυτον ὁ Ιησους[2] λεγων, 39 “‘Υποστρεφε εις τον οικον σου και διηγου ὅσα
εποιησεν σοι ὁ Θεος.’”[3] Και απηλθεν καθ’ ὅλην την πολιν κηρυσσων ὅσα εποιησεν αυτω ὁ
Ιησους.

*[A desperate father]*

**40** Εγενετο δε εν[4] τω ὑποστρεψαι[5] τον Ιησουν απεδεξατο αυτον ὁ οχλος, ησαν γαρ
παντες προσδοκωντες αυτον. 41 Και ιδου, ηλθεν ανηρ ᾧ ονομα Ιαειρος,[6] και αυτος[7] αρχων
της συναγωγης ὑπηρχεν, και πεσων παρα τους ποδας του[8] Ιησου παρεκαλει αυτον εισελθειν
εις τον οικον αυτου, 42 ὁτι θυγατηρ μονογενης ἠν αυτω ὡς ετων δωδεκα, και αὑτη[9]
απεθνησκεν. Εν δε τω ὑπαγειν αυτον οἱ οχλοι συνεπνιγον αυτον.

*[A desperate woman]*

**43** Και γυνη ουσα εν ῥυσει αἱματος απο ετων δωδεκα, ἡτις ιατροις προσαναλωσασα
ὁλον τον βιον[10] ουκ ισχυσεν ὑπ’[11] ουδενος θεραπευθηναι, 44 προσελθουσα οπισθεν ἡψατο του
κρασπεδου του ἱματιου αυτου· και παραχρημα εστη ἡ ῥυσις του αἱματος αυτης. 45 Και
ειπεν ὁ Ιησους, “Τίς ὁ ἁψαμενος μου?” Αρνουμενων δε παντων ειπεν ὁ Πετρος και οἱ μετ’
αυτου,[12] “Επιστατα, οἱ οχλοι συνεχουσιν σε και αποθλιβουσιν, και λεγεις, ‘Τίς ὁ ἁψαμενος
μου?’”[13] 46 Ὁ δε Ιησους ειπεν, “‘Ηψατο μου τις, εγω γαρ εγνων δυναμιν εξελθουσαν[14] απ’
εμου.” 47 Ιδουσα δε ἡ γυνη ὁτι ουκ ελαθεν, τρεμουσα ηλθεν και προσπεσουσα αυτω, δι’ ἡν
αιτιαν ἡψατο αυτου απηγγειλεν αυτω[15] ενωπιον παντος του λαου και ὡς ιαθη παραχρημα.
48 Ὁ δε ειπεν αυτη: “Θαρσει[16] θυγατερ,[17] ἡ πιστις σου σεσωκεν σε. Πορευου εις ειρηνην.”

*[Jesus raises a dead girl]*

**49** Ετι αυτου λαλουντος ερχεται τις παρα του αρχισυναγωγου λεγων αυτω[18] ὁτι
“Τεθνηκεν ἡ θυγατηρ σου· μη[19] σκυλλε τον διδασκαλον.” 50 Ὁ δε Ιησους ακουσας απεκριθη
αυτω λεγων,[20] “Μη φοβου, μονον πιστευε[21] και σωθησεται.” 51 Ελθων[22] δε εις την οικιαν
ουκ αφηκεν εισελθειν ουδενα[23] ει μη Πετρον και Ιωαννην και Ιακωβον[24] και τον πατερα της
παιδος και την μητερα. 52 Εκλαιον δε παντες και εκοπτοντο αυτην. Ὁ δε ειπεν, “Μη
κλαιετε· ουκ[25] απεθανεν αλλα καθευδει.” 53 Και κατεγελων αυτου, ειδοτες ὁτι απεθανεν.

---

[1] εδεετο $\mathbf{f}^{35}$ אC [97%] CP,RP,HF,TR || εδειτο B [2%] NU || εδεειτο A [1%] || εδετο $P^{75v}$
[2] ο ιησους $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- אB [3%] NU
[3] εποιησεν σοι ο θεος $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 2134 $P^{75}$אB [4%] NU || σοι ο κυριος πεποιηκεν C [1%]
[4] εγενετο δε εν $\mathbf{f}^{35}$ אA,C [98%] CP,RP,HF,TR || εν δε $P^{75}$B [2%] NU
[5] υποστρεψαι $\mathbf{f}^{35}$ A,C [95%] CP,RP,HF,TR || υποστρεφειν $P^{75}$אB [5%] NU
[6] ιαειρος $\mathbf{f}^{35}$ $P^{75v}$אA,B,W [93%] CP,RP,HF,TR || ιαιρος [2%] UN || ιαηρος [4%] || seven further spellings [1%] || --- D
[7] αυτος $\mathbf{f}^{35}$ אA [98%] CP,RP,HF,TR || ουτος $P^{75}$B [2%] NU
[8] του $\mathbf{f}^{35}$ A,C [98%] CP,RP,HF,TR[NU] || --- אB [2%]
[9] αὑτη $\mathbf{f}^{35}$ [ ] CP,RP,HF,TR || αυτη [ ] NU
[10] ιατροις (εις εατρους lat,syr,bo,TR) προσαναλωσασα ολον τον βιον $\mathbf{f}^{35}$ (א)A(C)W [99%] lat,syr,bo,CP,RP,HF,TR[NU] || --- $P^{75}$B(D) [1%] sa
[11] υπ $\mathbf{f}^{35}$ אC [97%] CP,RP,HF,TR || απ $P^{75}$A,B [3%] NU
[12] και οι μετ αυτου $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || και οι συν αυτω אA,C,D,W [8%] || --- $P^{75}$B [2%] NU
[13] και λεγεις τις (τι C) ο αψαμενος μου $\mathbf{f}^{35}$ A,C(D)W [95%] CP,RP,HF,TR || --- $P^{75}$אB [5%] NU
[14] εξελθουσαν $\mathbf{f}^{35}$ A,C [95%] CP,RP,HF,TR || εξεληλυθυιαν $P^{75}$אB [5%] NU
[15] αυτω $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || --- $P^{75}$אA,B [5%] NU
[16] θαρσει $\mathbf{f}^{35}$ A,C [95%] CP,RP,HF,TR || --- $P^{75}$אB [5%] NU
[17] θυγατερ $\mathbf{f}^{35}$ אA,C [98%] CP,RP,HF,TR || θυγατηρ B [2%] NU
[18] αυτω $\mathbf{f}^{35}$ A,C [98%] CP,RP,HF,TR || --- $P^{75}$אB [2%] NU
[19] μη $\mathbf{f}^{35}$ A,C,W [98%] CP,RP,HF,TR || μηκετι $P^{75}$אB,D [2%] NU
[20] λεγων $\mathbf{f}^{35}$ A,C [98%] CP,RP,HF,TR || --- $P^{75}$אB [2%] NU
[21] πιστευε $\mathbf{f}^{35}$ אA,C [99%] CP,RP,HF,TR || πιστευσον B [1%] NU
[22] ελθων $\mathbf{f}^{35}$ אA,B,C [98%] RP,HF,NU || εισελθων D [2%] CP,TR
[23] ουκ αφηκεν εισελθειν ουδενα $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ουκ αφηκεν εισελθειν τινα συν αυτω B,C [3%] NU || ουδενα αφηκεν συνεισελθειν αυτω א [2%]
[24] ιωαννην και ιακωβον $\mathbf{f}^{35}$ ($P^{75}$)(B)C(D) [85%] CP,RP,HF,NU || ~ 321 אA [15%] TR
[25] ουκ $\mathbf{f}^{35}$ A (88.6%) CP,RP,HF,TR || ου γαρ אB,C,D (11.4%) NU

54 Αυτος δε εκβαλων εξω παντας και[1] κρατησας της χειρος αυτης, εφωνησεν λεγων, "Ἡ
παις, εγειρου!"[2] 55 Και επεστρεψεν το πνευμα αυτης, και ανεστη παραχρημα. Και διεταξεν
αυτη δοθηναι φαγειν. 56 Και εξεστησαν οἱ γονεις αυτης· ὁ δε παρηγγειλεν αυτοις μηδενι
ειπειν το γεγονος.

*[Jesus sends out the Twelve]*

**9**.1 Συγκαλεσαμενος δε τους δωδεκα[3] εδωκεν αυτοις δυναμιν και εξουσιαν επι παντα
τα δαιμονια, και νοσους θεραπευειν· 2 και απεστειλεν αυτους κηρυσσειν την βασιλειαν του
Θεου και ιασθαι τους ασθενουντας.[4] 3 Και ειπεν προς αυτους: "Μηδεν αιρετε εις την ὁδον,
μητε ῥαβδους[5] μητε πηραν μητε αρτον, μητε αργυριον μητε ανα[6] δυο χιτωνας εχειν. 4 Και
εις ἣν αν[7] οικιαν εισελθητε, εκει μενετε, και εκειθεν εξερχεσθε. 5 Και ὁσοι εαν[8] μη
δεξωνται[9] ὑμας, εξερχομενοι απο της πολεως εκεινης και[10] τον κονιορτον απο των ποδων
ὑμων αποτιναξατε[11] εις μαρτυριον επ αυτους." 6 Εξερχομενοι δε διηρχοντο κατα τας κωμας
ευαγγελιζομενοι και θεραπευοντες πανταχου.

*[Herod is troubled]*

**7** Ηκουσεν δε Ηρωδης ὁ τετραρχης[12] τα γινομενα ὑπ' αυτου[13] παντα· και διηπορει
δια το λεγεσθαι ὑπο τινων ὁτι Ιωαννης εγηγερται[14] εκ[15] νεκρων, 8 ὑπο τινων δε ὁτι Ηλιας
εφανη, αλλων δε ὁτι προφητης εἷς[16] των αρχαιων ανεστη. 9 Και ειπεν[17] Ἡρωδης,[18]
"Ιωαννην εγω απεκεφαλισα· τίς δε εστιν οὗτος περι οὗ εγω[19] ακουω τοιαυτα?" Και εζητει
ιδειν αυτον.

*[Jesus feeds about 5,000 men]*

**10** Και ὑποστρεψαντες οἱ αποστολοι διηγησαντο αυτω ὁσα εποιησαν. Και παραλαβων
αυτους ὑπεχωρησεν κατ' ιδιαν εις τοπον ερημον πολεως καλουμενης[20] Βηθσαιδα.[21] 11 Οἱ δε
οχλοι γνοντες ηκολουθησαν αυτω. Και δεξαμενος[22] αυτους ελαλει αυτοις περι της βασιλειας
του Θεου, και τους χρειαν εχοντας θεραπειας ιατο.

12 Ἡ δε ἡμερα ηρξατο κλινειν, προσελθοντες δε οἱ δωδεκα ειπον αυτω, "Απολυσον
τον οχλον, ἱνα απελθοντες[23] εις τας κυκλω κωμας και τους[24] αγρους καταλυσωσιν και
εὑρωσιν επισιτισμον· ὁτι ὧδε εν ερημω τοπω εσμεν." 13 Ειπεν δε προς αυτους, "Δοτε

---

[1] εκβαλων εξω παντας και $\mathbf{f}^{35}$ [90%] CP,RP,HF,TR || 134 C [3%] || εκβαλλων παντας εξω και A [3%] || --- $P^{75}$ℵB [4%] NU

[2] εγειρου $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || εγειρε ℵB,C [5%] NU

[3] δωδεκα $\mathbf{f}^{35}$ $P^{75}$A,B,D [60%] RP,HF,NU || δωδεκα μαθητας αυτου [35%] CP,TR || δωδεκα αποστολους ℵC [5%]

[4] τους ασθενουντας $\mathbf{f}^{35}$ C,W (98.3%) CP,RP,HF,TR || τους ασθενεις ℵA,D (1.4%) [NU] || --- B (0.1%) (One other reading.)

[5] ραβδους $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ραβδον ℵB,C,D [5%] NU

[6] ανα $\mathbf{f}^{35}$ A,D,W (98.9%) CP,RP,HF,TR[NU] || --- ℵB,C (1%)

[7] αν $\mathbf{f}^{351/3}$ ℵA,B,C,D [90%] CP,RP,HF,TR,NU || --- $\mathbf{f}^{352/3}$ [10%]

[8] εαν $\mathbf{f}^{35}$ $P^{75}$C [60%] CP,RP,HF || αν ℵA,B,D [40%] TR,NU

[9] δεξωνται $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || δεχωνται ℵA,B,C [5%] NU

[10] και $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB,C [5%] NU

[11] αποτιναξατε $\mathbf{f}^{35}$ A,C [98%] CP,RP,HF,TR || αποτινασσετε ℵB [2%] NU

[12] ο τετραρχης $\mathbf{f}^{35}$ A,B [98%] CP,RP,HF,TR || ο τετρααρχης C [2%] NU || --- ℵ

[13] υπ αυτου $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB,C [5%] NU

[14] εγηγερται $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ηγερθη $P^{75}$ℵB,C [5%] NU

[15] εκ [ ] RP,HF,TR,NU || εκ των [ ] || απο των [ ] CP

[16] εις $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || τις ℵB,C [5%] NU

[17] και ειπεν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ειπεν δε $P^{75}$ℵB,C [5%] NU

[18] ηρωδης $\mathbf{f}^{35}$ ℵA,C,D [80%] CP,RP,HF,NU || ο ηρωδης B [20%] TR

[19] εγω $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB,C [5%] NU

[20] τοπον ερημον πολεως καλουμενης $\mathbf{f}^{35}$ C [95%] CP,RP,HF,TR || ~2134 A [2%] || 12 ℵ [1%] || πολιν καλουμενην $P^{75}$B [2%] NU

[21] βηθσαιδα $\mathbf{f}^{35}$ B,C [60%] CP,TR,NU || βηθσαιδαν A [38%] RP,HF || βηδσαιδα $P^{75}$D [2%] || --- ℵ

[22] δεξαμενος $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || αποδεξαμενος $P^{75}$ℵB [3%] NU

[23] απελθοντες $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || πορευθεντες $P^{75}$ℵA,B,C [5%] NU

[24] τους $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [3%] NU

αυτοις ὑμεις φαγειν." Οἱ δε ειπον, "Ουκ εισιν ἡμιν πλειον ἠ πεντε αρτοι[1] και ιχθυες δυο,[2] ει μητι πορευθεντες ἡμεις αγορασομεν[3] εις παντα τον λαον τουτον βρωματα." 14 Ησαν γαρ ὡσει ανδρες πεντακισχιλιοι. Ειπεν δε προς τους μαθητας αυτου, "Κατακλινατε αυτους κλισιας[4] ανα πεντηκοντα." 15 Και εποιησαν οὑτως, και ανεκλιναν[5] ἁπαντας. 16 Λαβων δε τους πεντε αρτους και τους δυο ιχθυας, αναβλεψας εις τον ουρανον ευλογησεν αυτους και κατεκλασεν και εδιδου τοις μαθηταις παρατιθεναι[6] τω οχλω. 17 Και εφαγον και εχορτασθησαν παντες, και ηρθη το περισσευσαν αυτοις κλασματων κοφινοι δωδεκα.

*["You are the Christ"]*

**18** Και εγενετο εν τω ειναι αυτον προσευχομενον κατα μονας συνησαν αυτω οἱ μαθηται, και επηρωτησεν αυτους λεγων, "Τίνα με λεγουσιν οἱ οχλοι ειναι?" 19 Οἱ δε αποκριθεντες ειπον, "Ιωαννην τον Βαπτιστην, αλλοι δε Ηλιαν, αλλοι δε ὁτι προφητης τις των αρχαιων ανεστη." 20 Ειπεν δε αυτοις, "'Υμεις δε, τίνα με λεγετε ειναι?" Αποκριθεις δε Πετρος[7] ειπεν, "Τον Χριστον του Θεου." 21 Ὁ δε επιτιμησας αυτοις παρηγγειλεν μηδενι ειπειν[8] τουτο, 22 ειπων ὁτι "Δει τον Υἱον του Ανθρωπου πολλα παθειν και αποδοκιμασθηναι απο των πρεσβυτερων και αρχιερεων και γραμματεων, και αποκτανθηναι και τη τριτη ἡμερα αναστηναι."[9]

*[To gain is to lose, to lose is to gain]*

**23** Ελεγεν δε προς παντας: "Ει τις θελει οπισω μου ελθειν,[10] απαρνησασθω[11] ἑαυτον και αρατω τον σταυρον αυτου,[12] και ακολουθειτω μοι. 24 Ὃς γαρ εαν[13] θελη την ψυχην αυτου σωσαι απολεσει αυτην· ὃς δ' αν απολεση την ψυχην αυτου ἑνεκεν εμου, οὑτος σωσει αυτην. 25 Τί γαρ ωφελειται ανθρωπος κερδησας τον κοσμον ὁλον ἑαυτον δε απολεσας ἠ ζημιωθεις? 26 Ὃς γαρ αν επαισχυνθη με και τους εμους λογους, τουτον ὁ Υἱος του Ανθρωπου επαισχυνθησεται ὁταν ελθη εν τη δοξη αυτου και του Πατρος και των ἁγιων αγγελων. 27 Λεγω δε ὑμιν αληθως, εισιν τινες των ὡδε[14] ἑστηκοτων[15] οἳ ου μη γευσωνται[16] θανατου ἑως αν ιδωσιν την βασιλειαν του Θεου."

*[Peter, John and James see the "Kingdom"]*

**28** Εγενετο δε μετα τους λογους τουτους ὡσει ἡμεραι οκτω, και[17] παραλαβων[18] Πετρον και Ιωαννην και Ιακωβον, ανεβη εις το ορος προσευξασθαι. 29 Και εγενετο εν τω προσευχεσθαι αυτον το ειδος του προσωπου αυτου ἑτερον και ὁ ἱματισμος αυτου λευκος εξαστραπτων. 30 Και ιδου, ανδρες δυο συνελαλουν αυτω, οἱτινες ησαν Μωσης[19] και Ηλιας. 31 Οἳ οφθεντες εν δοξη ελεγον την εξοδον αυτου ἣν εμελλεν[20] πληρουν εν Ἱερουσαλημ.

---

[1] πεντε αρτοι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 ℵB [3%] NU || επτα αρτοι C [2%]
[2] ιχθυες δυο **f**$^{35}$ ℵA,B,C [85%] CP,RP,HF,NU || ~ 21 D [15%] TR
[3] αγορασομεν **f**$^{352/3}$ [30%] CP || αγορασωμεν **f**$^{351/3}$ ℵA,B,C,D [70%] RP,HF,TR,NU
[4] κλισιας **f**$^{35}$ A [95%] CP,RP,HF,TR || κλισιας ωσει ℵB,C [5%] [NU]
[5] ανεκλιναν **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || κατεκλιναν ℵB [3%] NU
[6] παρατιθεναι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || παραθειναι P$^{75}$ℵB,C [5%] NU
[7] αποκριθεις δε πετρος **f**$^{35}$ [60%] CP || αποκριθεις δε ο πετρος A,D [39%] RP,HF,TR || πετρος δε αποκριθεις ℵB,C [1%] NU
[8] ειπειν **f**$^{35}$ [95%] CP,RP,HF,TR || λεγειν ℵA,B,C [5%] NU
[9] αναστηναι **f**$^{35}$ A,C,D [70%] RP || εγερθηναι ℵB [30%] CP,HF,TR,NU
[10] ελθειν **f**$^{35}$ [95%] CP,RP,HF,TR || ερχεσθαι P$^{75}$ℵA,B,C [5%] NU
[11] απαρνησασθω **f**$^{35}$ P$^{75}$B,C [98%] CP,RP,HF,TR || αρνησασθω ℵA [2%] NU
[12] αυτου **f**$^{35}$ C [70%] CP,RP,HF || αυτου καθ ημεραν P$^{75}$ℵA,B,D [30%] TR,NU
[13] εαν **f**$^{35}$ ℵC [60%] CP,RP,HF || αν A,B,D [40%] TR,NU
[14] ωδε **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || αυτου P$^{75}$ℵB [3%] NU
[15] εστηκοτων **f**$^{35}$ ℵB [25%] TR,NU || εστωτων A,C,D [75%] CP,RP,HF
[16] γευσωνται **f**$^{35}$ P$^{45}$ℵA,B,C,D [70%] RP,HF,NU || γευσονται [30%] CP,TR
[17] και **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR[NU] || --- ℵB [3%]
[18] παραλαβων **f**$^{35}$ P$^{45,75}$ℵA,B,C,D [95%] CP,RP,HF,NU || παραλαβων τον [5%] TR
[19] μωσης [ ] CP,RP,HF,TR || μωυσης [ ] NU
[20] εμελλεν **f**$^{35}$ B [95%] CP,RP,HF,TR || ημελλεν P$^{75}$ℵA,C [5%] NU || εμελλον P$^{45}$

32 Ὁ δε Πετρος και οἱ συν αυτω ησαν βεβαρημενοι ὑπνω· διαγρηγορησαντες δε ειδον την δοξαν αυτου και τους δυο ανδρας τους συνεστωτας αυτω. 33 Και εγενετο εν τω διαχωριζεσθαι αυτους απ' αυτου ειπεν ὁ[1] Πετρος προς τον Ιησουν, "Επιστατα, καλον εστιν ἡμας ὡδε ειναι· και ποιησωμεν σκηνας τρεις, μιαν σοι και μιαν Μωσει[2] και μιαν Ηλια," μη ειδως ὃ λεγει. 34 Ταυτα δε αυτου λεγοντος εγενετο νεφελη και επεσκιασεν[3] αυτους· εφοβηθησαν δε εν τω εκεινους εισελθειν[4] εις την νεφελην. 35 Και φωνη εγενετο εκ της νεφελης λεγουσα: "Οὑτος εστιν ὁ Υἱος μου ὁ αγαπητος.[5] Αυτου ακουετε!" 36 Και εν τω γενεσθαι την φωνην εὑρεθη ὁ[6] Ιησους μονος. Και αυτοι εσιγησαν και ουδενι απηγγειλαν εν εκειναις ταις ἡμεραις ουδεν ὡν ἑωρακασιν.[7]

*[A violent demon]*

**37** Εγενετο δε εν τη ἑξης ἡμερα,[8] κατελθοντων αυτων απο του ορους, συνηντησεν αυτω οχλος πολυς. 38 Και ιδου, ανηρ απο του οχλου ανεβοησεν[9] λεγων: "Διδασκαλε, δεομαι σου επιβλεψον[10] επι τον υἱον μου, ὁτι μονογενης εστιν μοι.[11] 39 Και ιδου, πνευμα λαμβανει αυτον και εξαιφνης κραζει, και σπαρασσει αυτον μετα αφρου, και μογις αποχωρει απ' αυτου, συντριβον αυτον. 40 Και εδεηθην των μαθητων σου ἱνα εκβαλωσιν[12] αυτο και ουκ ηδυνηθησαν." 41 Αποκριθεις δε ὁ Ιησους ειπεν: "Ω γενεα απιστος και διεστραμμενη, ἑως ποτε εσομαι προς ὑμας και ανεξομαι ὑμων? Προσαγαγε τον υἱον σου ὡδε."[13] 42 Ετι δε προσερχομενου αυτου ερρηξεν αυτον το δαιμονιον και συνεσπαραξεν. Επετιμησεν δε ὁ Ιησους τω πνευματι τω ακαθαρτω και ιασατο τον παιδα και απεδωκεν αυτον τω πατρι αυτου. 43 Εξεπλησσοντο δε παντες επι τη μεγαλειοτητι του Θεου.

*[Jesus foretells His death]*

Παντων δε θαυμαζοντων επι πασιν οἱς εποιησεν[14] ὁ Ιησους,[15] ειπεν προς τους μαθητας αυτου, 44 "Θεσθε ὑμεις εις τα ωτα ὑμων τους λογους τουτους, ὁ γαρ Υἱος του Ανθρωπου μελλει παραδιδοσθαι εις χειρας ανθρωπων." 45 Οἱ δε ηγνοουν το ῥημα τουτο, και ἦν παρακεκαλυμμενον απ' αυτων ἱνα μη αισθωνται αυτο· και εφοβουντο ερωτησαι αυτον περι του ῥηματος τουτου.

*[He who is least will be great]*

**46** Εισηλθεν δε διαλογισμος εν αυτοις, το τίς αν ειη μειζων αυτων. 47 Ὁ δε Ιησους ιδων[16] τον διαλογισμον της καρδιας αυτων επιλαβομενος παιδιου[17] εστησεν αυτο παρ' ἑαυτω, 48 και ειπεν αυτοις: ""Ὃς εαν δεξηται τουτο το παιδιον επι τω ονοματι μου εμε δεχεται· και ὃς εαν[18] εμε δεξηται δεχεται τον αποστειλαντα με. Ὁ γαρ μικροτερος εν πασιν ὑμιν[19] ὑπαρχων οὑτος εσται[20] μεγας."

---

1 ο **f**35 P45,75 א B,C [50%] CP,TR,NU || --- A [50%] RP,HF
2 μιαν μωσει **f**35 P45,75 A,B,C [90%] CP,RP,HF,NU || ~ 21 א [10%] TR [include that NU has μωυσει]
3 επεσκιασεν **f**35 P45 A,C [97%] CP,RP,HF,TR || επεσκιαζεν P75 א B [3%] NU
4 εκεινους εισελθειν **f**35 P45 A [95%] CP,RP,HF,TR || εισελθειν αυτους (~ C) א B,C [5%] NU || εισελθειν P75
5 αγαπητος **f**35 A,C,W [96.5%] CP,RP,HF,TR || εκλελεγμενος P45,75 א B [2%] NU || εκλεκτος [1%] || αγαπητος εν ω ευδοκησα D [0.5%]
6 ο **f**35 [60%] CP,RP,HF,TR || --- P45,75 א A,B,C,D [40%] NU
7 εωρακασιν **f**35 א A [97%] CP,RP,HF,TR [εορακασιν C] || εωρακαν B [3%] NU || εορακαν P45
8 εν τη εξης ημερα **f**35 A,C [97%] CP,RP,HF,TR || 234 א B [3%] NU || της ημερας P45
9 ανεβοησεν **f**35 A [95%] CP,RP,HF,TR || εβοησεν P45,75 א B,C [5%] NU
10 επιβλεψον **f**35 א D [60%] TR || επιβλεψαι P45 A,B(C) [40%] CP,RP,HF,NU
11 εστιν μοι **f**35 [95%] CP,RP,HF,TR || ~ 21 P45v א A,B,C [5%] NU
12 εκβαλωσιν **f**35 א A,B,C [95%] CP,RP,HF,NU || εκβαλλωσιν D [5%] TR
13 τον υιον σου ωδε **f**35 A,C [95%] CP,RP,HF || ~ 4123 P75 א B [5%] TR,NU
14 εποιησεν **f**35 [95%] CP,RP,HF,TR || εποιει P75 א A,B,C [5%] NU
15 ο ιησους **f**35 A,C [97%] CP,RP,HF,TR || --- P75 א B [3%] NU
16 ιδων **f**35 A,C,D,W [97%] CP,RP,HF,TR || ειδως א B [2%] NU || γνους [1%]
17 παιδιου **f**35 א A [95%] RP,HF,TR || παιδιον P75 B,C [5%] CP,NU
18 εαν **f**35 A,C [97%] CP,RP,HF,TR || αν P75 B [3%] NU || --- א
19 υμιν **f**351/3 P75 א A,B,C [90%] CP,RP,HF,TR,NU || υμων **f**352/3 [10%]
20 εσται **f**35 A [95%] CP,RP,HF,TR || εστιν P75 א B,C [5%] NU

49 Ἀποκριθεις δε ὁ[1] Ἰωαννης ειπεν, "Ἐπιστατα, ειδομεν τινα επι[2] τω ονοματι σου
εκβαλλοντα[3] δαιμονια, και εκωλυσαμεν[4] αυτον, ὁτι ουκ ακολουθει μεθ' ἡμων." 50 Και
ειπεν[5] προς αυτον ὁ Ἰησους, "Μη κωλυετε, ὃς γαρ ουκ εστιν καθ' ἡμων[6] ὑπερ ἡμων[7] εστιν."

*[A Samaritan village]*

**51** Εγενετο δε εν τω συμπληρουσθαι τας ἡμερας της αναληψεως[8] αυτου, και αυτος το
προσωπον αυτου[9] εστηριξεν[10] του πορευεσθαι εις Ἱερουσαλημ, 52 και απεστειλεν αγγελους
προ προσωπου ἑαυτου.[11] Και πορευθεντες εισηλθον εις κωμην Σαμαρειτων, ὡστε[12] ἑτοιμασαι
αυτω. 53 Και ουκ εδεξαντο αυτον, ὁτι το προσωπον αυτου ἠν πορευομενον εις Ἱερουσαλημ.
54 Ιδοντες δε οἱ μαθηται αυτου[13] Ιακωβος και Ιωαννης ειπον, "Κυριε, θελεις ειπωμεν πυρ
καταβηναι απο του ουρανου και αναλωσαι αυτους, ὡς και Ηλιας εποιησεν?"[14] 55 Στραφεις
δε επετιμησεν αυτοις και ειπεν: "Ουκ οιδατε οἱου πνευματος εστε ὑμεις.[15] 56 Ὁ γαρ Υἱος
του Ανθρωπου ουκ ηλθεν ψυχας ανθρωπων απολεσαι αλλα σωσαι."[16] Και επορευθησαν εις
ἑτεραν κωμην.

*[The cost of discipleship]*

**57** Εγενετο δε[17] πορευομενων αυτων εν τη ὁδω, ειπεν τις προς αυτον, "Ακολουθησω
σοι ὁπου αν[18] απερχη, Κυριε."[19] 58 Και ειπεν αυτω ὁ Ιησους, "Αἱ αλωπεκες φωλεους
εχουσιν και τα πετεινα του ουρανου κατασκηνωσεις, ὁ δε Υἱος του Ανθρωπου ουκ εχει που
την κεφαλην κλινη."

59 Ειπεν δε προς ἑτερον, "Ακολουθει μοι." Ὁ δε ειπεν, "Κυριε,[20] επιτρεψον μοι
απελθοντι πρωτον θαψαι τον πατερα μου." 60 Ειπεν δε αυτω ὁ Ιησους,[21] "Αφες τους
νεκρους θαψαι τους ἑαυτων νεκρους, συ δε απελθων διαγγελλε[22] την βασιλειαν του Θεου."

61 Ειπεν δε και ἑτερος, "Ακολουθησω σοι, Κυριε· πρωτον δε επιτρεψον μοι
αποταξασθαι τοις εις τον οικον μου." 62 Ειπεν δε ὁ Ιησους προς αυτον,[23] "Ουδεις επιβαλων

---

[1] ο $\mathbf{f}^{35}$ אA [95%] CP,RP,HF,TR || --- $P^{45v,75}$B [5%] NU
[2] επι $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || εν $P^{45,75}$אB [3%] NU
[3] εκβαλλοντα $\mathbf{f}^{35}$ $P^{45,75}$אA,B,C,D [95%] CP,RP,HF,NU || εκβαλλοντα τα [5%] TR
[4] εκωλυσαμεν $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || εκωλυομεν $P^{75v}$אB [3%] NU
[5] και ειπεν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ειπεν δε $P^{45,75}$אB,C [5%] NU
[6] ημων $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || υμων $P^{45,75}$אA,B,C [5%] NU
[7] ημων $\mathbf{f}^{35}$ אA [98%] CP,RP,HF,TR || υμων B,C [2%] NU
[8] αναληψεως [ ] CP,RP,HF,TR || αναλημψεως [ ] NU
[9] αυτου $\mathbf{f}^{35}$ אA,C [80%] CP,RP,HF,TR || εαυτου [15%] || --- $P^{45,75v}$B [5%] NU
[10] εστηριξεν $\mathbf{f}^{35}$ אA [95%] CP,RP,HF,TR || εστηρισεν $P^{45}$B,C [5%] NU
[11] εαυτου $\mathbf{f}^{352/3}$ A [25%] || αυτου $\mathbf{f}^{351/3}$ $P^{75}$אB,C [75%] CP,RP,HF,TR,NU || --- $P^{45}$
[12] ωστε $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || ως $P^{45,75}$אB [3%] NU
[13] αυτου $\mathbf{f}^{35}$ A,C,D (99%) CP,RP,HF,TR || --- $P^{45,75}$אB (1%) NU
[14] ως και ηλιας εποιησεν $\mathbf{f}^{35}$ A,C,D,W [97%] CP,RP,HF,TR || --- $P^{45,75}$אB [3%] NU
[15] και ειπεν ουκ οιδατε οιου (ποιου D 14%) πνευματος εστε υμεις (--- D) $\mathbf{f}^{35}$ D (73.2%) lat,syr,Diat,Marcion, CP,RP,HF,TR || --- $P^{45,75}$אA,B,C,W (26.7%) cop,NU
[16] ο γαρ υιος του ανθρωπου ουκ ηλθεν ψυχας ανθρωπων απολεσαι (αποκτειναι 8.9%) αλλα σωσαι $\mathbf{f}^{35}$ (73%) lat,syr,Diat,Marcion,CP,RP,HF,TR || --- $P^{45,75}$אA,B,C,D,W (26.9%) cop,NU
[17] εγενετο δε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || και $P^{45,75}$אB,C [5%] NU
[18] αν $\mathbf{f}^{35}$ $P^{75}$אD [50%] CP,RP,HF,TR || εαν $P^{45}$A,B,C [50%] NU
[19] κυριε $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$אB [3%] NU
[20] κυριε $\mathbf{f}^{35}$ $P^{45,75}$אA,C,W,0181 [99%] CP,RP,HF,TR[NU] || --- B,D [1%]
[21] ο ιησους $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$אB [3%] NU
[22] διαγγελλε $\mathbf{f}^{351/2}$ אA,B,C [90%] RP,HF,TR,NU || διαγγελε $\mathbf{f}^{351/2}$ $P^{75}$ [10%] CP
[23] ο ιησους προς αυτον $\mathbf{f}^{35}$ A,C,W [80%] CP,RP,HF || ~ 3412 א(D) [19%] lat,syr,TR[NU] || 12 $P^{45,75}$B [1%]

την χειρα αυτου επ’ αροτρον,[1] και βλεπων εις τα οπισω,[2] ευθετος εστιν εις την βασιλειαν[3]
του Θεου.”

*[Jesus sends out the Seventy]*

**10**.1 Μετα δε ταυτα ανεδειξεν ὁ Κυριος και[4] ἑτερους ἑβδομηκοντα[5] και απεστειλεν
αυτους ανα δυο[6] προ προσωπου αυτου εις πασαν πολιν και τοπον οὗ εμελλεν[7] αυτος
ερχεσθαι. 2 Ελεγεν ουν[8] προς αυτους: “‘Ο μεν θερισμος πολυς οἱ δε εργαται ολιγοι· δεηθητε
ουν του Κυριου του θερισμου ὁπως εκβαλη εργατας[9] εις τον θερισμον αυτου. 3 ‘Υπαγετε·
ιδου, εγω[10] αποστελλω ὑμας ὡς αρνας εν μεσω λυκων. 4 Μη βασταζετε βαλαντιον,[11] μη
πηραν, μη[12] ὑποδηματα, και μηδενα κατα την ὁδον ασπασησθε. 5 Εις ἣν δ’ αν οικιαν
εισερχησθε,[13] πρωτον λεγετε, ‘Ειρηνη τω οικω τουτω’. 6 Και εαν μεν[14] ᾖ εκει[15] υἱος[16]
ειρηνης, επαναπαυσεται[17] επ’ αυτον ἡ ειρηνη ὑμων· ει δε μη γε, εφ’ ὑμας ανακαμψει. 7 Εν
αυτη δε τη οικια μενετε, εσθιοντες και πινοντες τα παρ’ αυτων, αξιος γαρ ὁ εργατης του
μισθου αυτου εστιν.[18] Μη μεταβαινετε εξ οικιας εις οικιαν.

8 Και εις ἣν δ’ αν[19] πολιν εισερχησθε, και δεχωνται[20] ὑμας, εσθιετε τα
παρατιθεμενα ὑμιν. 9 Και θεραπευετε τους εν αυτη ασθενεις και λεγετε αυτοις, ‘Ηγγικεν
εφ’ ὑμας ἡ βασιλεια του Θεου’. 10 Εις ἣν δ’ αν πολιν εισερχησθε,[21] και μη δεχωνται[22] ὑμας,
εξελθοντες εις τας πλατειας αυτης ειπατε: 11 ‘Και τον κονιορτον τον[23] κολληθεντα ἡμιν εκ
της πολεως ὑμων[24] απομασσομεθα ὑμιν. Πλην τουτο γινωσκετε, ὁτι ηγγικεν εφ’ ὑμας[25] ἡ
βασιλεια του Θεου.’ 12 Λεγω[26] ὑμιν ὁτι Σοδομοις εν τη ἡμερα εκεινη ανεκτοτερον εσται ἠ
τη πολει εκεινη.

[Jesus gives the example]

**13** “Ουαι σοι, Χωραζιν![27] Ουαι σοι, Βηθσαιδα! ‘Οτι ει εν Τυρω και Σιδωνι
εγενοντο[28] αἱ δυναμεις αἱ γενομεναι εν ὑμιν, παλαι αν εν σακκω και σποδω καθημεναι[29]

---

1 αροτρον [ ] RP,HF,TR,NU || αρωτρον [ ] CP
2 επιβαλων (επιβαλλων A,W) την χειρα αυτου επ αροτρον και βλεπων εις τα οπισω $\mathbf{f}^{35}$ אA,C,W [98%] CP,RP,HF,TR || 1 (επιβαλλων $P^{75}$0181) 2 3 – 5 6 7 8 9 10 11 $P^{75}$B,0181 [2%] NU || ~ 9 10 11 8 7 1 2 3 4 5 6 $P^{45v}$D
3 εις την βασιλειαν $\mathbf{f}^{35}$ A,C,D,W [98%] CP,RP,HF,TR || (εν $P^{75}$) τη βασιλεια $P^{75}$אB [2%] NU
4 και $\mathbf{f}^{35}$ אA,C,D,W [99%] CP,RP,HF,TR || --- $P^{75}$B,0181 [1%] NU
5 εβδομηκοντα $\mathbf{f}^{35}$ אA,C,W [99.5%] CP,RP,HF,TR || εβδομηκοντα δυο $P^{75}$B,D,0181 [0.5%] [NU]
6 δυο $\mathbf{f}^{35}$ אA,C [99.5%] CP,RP,HF,TR || δυο δυο B [0.5%] [NU]
7 εμελλεν $\mathbf{f}^{35}$ D [60%] CP,RP,HF,TR || ημελλεν אA,B,C [40%] NU
8 ουν $\mathbf{f}^{35}$ A [97%] CP,RP,HF,TR || δε אB,C [3%] NU
9 εκβαλη εργατας $\mathbf{f}^{35}$ אA,C [85%] CP,RP,HF || εκβαλλη εργατας [14.5%] TR || εργατας εκβαλη ($P^{75}$)B,D [0.5%] [NU
10 εγω $\mathbf{f}^{35}$ C [95%] CP,RP,HF,TR || --- $P^{75}$אA,B [5%] NU
11 βαλαντιον $\mathbf{f}^{35}$ [90%] RP,HF,TR || βαλλαντιον $P^{75}$אA,B,C,D [10%] CP,NU
12 μη $\mathbf{f}^{35}$ $P^{75}$אB,D [25%] NU || μηδε A,C [75%] CP,RP,HF,TR
13 οικιαν εισερχησθε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || εισελθητε οικιαν $P^{75}$(א)B [3%] NU || οικιαν εισελθητε C [2%]
14 μεν $\mathbf{f}^{35}$ [20%] TR || --- $P^{75}$אA,B,C,D [80%] CP,RP,HF,NU
15 η εκει $\mathbf{f}^{35}$ אA,C [98%] CP,RP,HF,TR || ~ 21 $P^{75}$B [2%] NU
16 υιος $\mathbf{f}^{35}$ $P^{75}$אA,B,C,D [95%] CP,RP,HF,NU || ο υιος [5%] TR
17 επαναπαυσεται $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || επαναπαησεται $P^{75}$אB [3%] NU
18 εστιν $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{75}$אB [3%] NU
19 δαν $\mathbf{f}^{35}$ A [50%] CP,TR || αν $P^{75}$אB,D [50%] RP,HF,NU
20 δεχωνται $\mathbf{f}^{35}$ אA,B,C,D [60%] CP,RP,HF,TR,NU || δεχονται [40%]
21 εισερχησθε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || εισελθητε $P^{45v}$אB,C [5%] NU || εισηλθητε $P^{75}$
22 δεχωνται $\mathbf{f}^{35}$ אA,B,C,D [85%] CP,RP,HF,TR,NU || δεχονται [15%]
23 τον *rell* || --- CP
24 υμων $\mathbf{f}^{35}$ [85%] CP,RP,HF,TR || υμων εις τους ποδας $P^{45v}$אB [10%] NU || υμων εις τους ποδας ημων A,C [5%]
25 εφ υμας $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$אB [3%] NU
26 λεγω $\mathbf{f}^{35}$ $P^{45,75}$A,B,C [75%] CP,RP,HF,NU || λεγω δε אD [25%] TR
27 χωραζιν $\mathbf{f}^{35}$ [25%] CP || χωραζειν [5%] || χοραζιν [60%] RP,HF,TR,NU || χοραζειν $P^{45,75}$אA,B,C [10%]
28 εγενοντο $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || εγενηθησαν אB [3%] NU || εγεννηθησαν $P^{75}$
29 καθημεναι $\mathbf{f}^{35}$ $P^{45}$ [95%] CP,RP,HF,TR || καθημενοι $P^{75}$אA,B,C [5%] NU

μετενοησαν. 14 Πλην Τυρω και Σιδωνι ανεκτοτερον εσται εν τη κρισει ἡ ὑμιν. 15 Και συ,
Καπερναουμ,[1] ἡ[2] ἑως του[3] ουρανου ὑψωθεισα,[4] ἑως[5] ᾍδου καταβιβασθηση.[6]
16 "Ὁ ακουων ὑμων εμου ακουει, και ὁ αθετων ὑμας εμε αθετει, ὁ δε εμε αθετων
αθετει τον αποστειλαντα με."

*[The Seventy return and report]*

**17** Ὑπεστρεψαν δε οἱ ἑβδομηκοντα μετα χαρας[7] λεγοντες, "Κυριε, και τα δαιμονια
ὑποτασσεται ἡμιν εν τω ονοματι σου." 18 Ειπεν δε αυτοις: "Εθεωρουν τον Σαταναν ὡς
αστραπην εκ του ουρανου πεσοντα. 19 Ιδου, διδωμι[8] ὑμιν την εξουσιαν του πατειν επανω
οφεων και σκορπιων, και επι πασαν την δυναμιν του εχθρου, και ουδεν ὑμας ου μη
αδικηση. 20 Πλην εν τουτω μη χαιρετε ὁτι τα πνευματα ὑμιν ὑποτασσεται· χαιρετε δε[9] ὁτι
τα ονοματα ὑμων εγραφη[10] εν τοις ουρανοις."

*[Jesus worships His Father]*

**21** Εν αυτη τη ὡρα ηγαλλιασατο τω[11] πνευματι ὁ Ιησους[12] και ειπεν:
"Εξομολογουμαι σοι, Πατερ, Κυριε του ουρανου και της γης, ὁτι απεκρυψας ταυτα απο
σοφων και συνετων, και απεκαλυψας αυτα νηπιοις. Ναι, ὁ Πατηρ, ὁτι οὑτως εγενετο
ευδοκια[13] εμπροσθεν σου."
22 Και στραφεις προς τους μαθητας ειπεν,[14] "Παντα μοι παρεδοθη[15] ὑπο του Πατρος
μου, και ουδεις γινωσκει τίς εστιν ὁ Υἱος ει μη ὁ Πατηρ, και τίς εστιν ὁ Πατηρ ει μη ὁ
Υἱος, και ᾧ εαν βουληται ὁ Υἱος αποκαλυψαι." 23 Και στραφεις προς τους μαθητας κατ'
ιδιαν ειπεν: "Μακαριοι οἱ οφθαλμοι οἱ βλεποντες ἃ βλεπετε. 24 Λεγω γαρ ὑμιν ὁτι πολλοι
προφηται και βασιλεις ηθελησαν ιδειν ἃ ὑμεις βλεπετε και ουκ ειδον, και ακουσαι ἃ
ακουετε και ουκ ηκουσαν."

*[How to inherit eternal life]*

**25** Και ιδου, νομικος τις ανεστη, εκπειραζων αυτον και[16] λεγων, "Διδασκαλε, τί
ποιησας ζωην αιωνιον κληρονομησω?" 26 Ὁ δε ειπεν προς αυτον: "Εν τω νομω τί
γεγραπται? Πως αναγινωσκεις?" 27 Ὁ δε αποκριθεις ειπεν, "Αγαπησεις Κυριον τον Θεον
σου εξ ὁλης της[17] καρδιας σου και εξ ὁλης της ψυχης[18] σου και εξ ὁλης της ισχυος[19] σου και
εξ ὁλης της διανοιας[20] σου, και τον πλησιον σου ὡς σεαυτον." 28 Ειπεν δε αυτω, "Ορθως
απεκριθης· τουτο ποιει και ζηση." 29 Ὁ δε θελων δικαιουν[21] ἑαυτον ειπεν προς τον Ιησουν,
"Και τίς εστιν μου πλησιον?"

---

[1] καπερναουμ **f**$^{35}$ A [95%] CP,RP,HF,TR || καφαρναουμ $P^{45,75}$ℵB,C [5%] NU
[2] η **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || μη $P^{45,75}$ℵB [3%] NU
[3] του **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB,C [5%] NU
[4] υψωθεισα **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || υψωθηση $P^{45,75}$ℵB [3%] NU
[5] εως **f**$^{35}$ $P^{45}$ A,C [97%] CP,RP,HF,TR || εως του $P^{75}$B [3%] NU || εως ο ℵ
[6] καταβιβασθηση **f**$^{35}$ $P^{45}$ℵA,C,W [98%] CP,RP,HF,TR || καταβηση $P^{75}$B,D [2%] NU
[7] οι εβδομηκοντα μετα χαρας **f**$^{35}$ ℵC,W [97%] CP,RP,HF,TR || ~ 3412 A [1%] || οι εβδομηκοντα δυο μετα χαρας $P^{45,75}$B,D [2%] [NU]
[8] διδωμι **f**$^{35}$ $P^{45}$A,D [98%] syr,CP,RP,HF,TR || δεδωκα $P^{75}$ℵB,C,W [2%] lat,NU
[9] δε **f**$^{35}$ $P^{45,75}$ℵA,B,C,D [98%] CP,RP,HF,NU || δε μαλλον [2%] TR
[10] εγραφη **f**$^{35}$ $P^{45v}$A,C,D,W [97%] CP,RP,HF,TR || εγγεγραπται $P^{75}$ℵB [3%] NU
[11] τω **f**$^{35}$ $P^{75}$A,B,C (96.7%) CP,RP,HF,TR || εν τω $P^{45}$ℵD (3%) [NU]
[12] ο ιησους **f**$^{35}$ A,W (95.5%) CP,RP,HF,TR || τω αγιω ο ιησους C (3.3%) || τω αγιω $P^{75}$ℵB,D (0.4%) NU || --- $P^{45}$ (0.7%)
[13] εγενετο ευδοκια **f**$^{35}$ ℵA [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$B,C [5%] NU
[14] και στραφεις προς τους μαθητας ειπεν **f**$^{35}$ A,C,W (89.3%) syr,Diat,CP,RP,HF,TR || --- $P^{45,75}$ℵB,D (9.5%) cop,NU (The TR underlying the AV and NKJV omits the clause.)
[15] μοι παρεδοθη **f**$^{35}$ $P^{75}$ℵA,B,C,D [98%] CP,RP,HF,NU || ~ 21 [2%] TR
[16] και **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{75v}$ℵB [3%] NU
[17] της **f**$^{35}$ ℵA,C [98%] CP,RP,HF,TR[NU] || --- $P^{75}$B [2%]
[18] εξ ολης της ψυχης **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || εν ολη τη ψυχη $P^{75}$ℵB [3%] NU
[19] εξ ολης της ισχυος **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || εν ολη τη ισχυι $P^{75}$ℵB [3%] NU
[20] εξ ολης της διανοιας **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || εν ολη τη διανοια $P^{75}$ℵB [3%] NU
[21] δικαιουν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || δικαιωσαι $P^{45v,75}$ℵB,C [5%] NU

*["The good Samaritan"]*

**30** Ὑπολαβων δε[1] ὁ Ιησους ειπεν: "Ανθρωπος τις κατεβαινεν απο Ἱερουσαλημ εις
Ιεριχω, και λησταις περιεπεσεν, οἳ και εκδυσαντες[2] αυτον και πληγας επιθεντες απηλθον,
αφεντες ἡμιθανη τυγχανοντα.[3] 31 Κατα συγκυριαν δε ἱερευς τις κατεβαινεν εν τη ὁδω
εκεινη, και ιδων αυτον αντιπαρηλθεν. 32 Ὁμοιως δε και Λευιτης γενομενος[4] κατα τον
τοπον ελθων και ιδων αντιπαρηλθεν. 33 Σαμαρειτης δε τις ὁδευων ηλθεν κατ' αυτον και
ιδων αυτον[5] εσπλαγχνισθη, 34 και προσελθων κατεδησεν τα τραυματα αυτου, επιχεων
ελαιον και οινον· επιβιβασας δε αυτον επι το ιδιον κτηνος ηγαγεν αυτον[6] εις πανδοχειον
και επεμεληθη αυτου. 35 Και επι την αυριον εξελθων,[7] εκβαλων δυο δηναρια εδωκεν[8] τω
πανδοχει και ειπεν αυτω,[9] 'Επιμεληθητι αυτου, και ὅ τι αν προσδαπανησης εγω εν τω
επανερχεσθαι με αποδωσω σοι.' 36 Τίς ουν[10] τουτων των τριων πλησιον, δοκει σοι,[11]
γεγονεναι του εμπεσοντος εις τους ληστας?" 37 Ὁ δε ειπεν, "Ὁ ποιησας το ελεος μετ'
αυτου." Ειπεν ουν[12] αυτω ὁ Ιησους, "Πορευου και συ ποιει ὁμοιως."

*[Martha and Mary]*

**38** Εγενετο δε εν[13] τω πορευεσθαι αυτους, και[14] αυτος εισηλθεν εις κωμην τινα.
Γυνη δε τις ονοματι Μαρθα ὑπεδεξατο αυτον εις τον οικον αυτης.[15] 39 Και τηδε ἠν αδελφη
καλουμενη Μαρια[16] ἣ[17] και παρακαθισασα[18] παρα[19] τους ποδας του Ιησου[20] ηκουεν των
λογων[21] αυτου. 40 Ἡ δε Μαρθα περιεσπατο περι πολλην διακονιαν· επιστασα δε ειπεν:
"Κυριε, ου μελει σοι ὁτι ἡ αδελφη μου μονην με κατελιπεν[22] διακονειν? Ειπε ουν αυτη ἱνα
μοι συναντιλαβηται!" 41 Αποκριθεις δε ὁ Ιησους ειπεν αυτη:[23] "Μαρθα, Μαρθα, μεριμνας
και τυρβαζη[24] περι πολλα· 42 ἑνος δε εστιν χρεια. Μαρια[25] δε[26] την αγαθην μεριδα
εξελεξατο, ἡτις ουκ αφαιρεθησεται απ'[27] αυτης."

*[The model prayer]*

**11.1** Και εγενετο εν τω ειναι αυτον εν τοπω τινι προσευχομενον, ὡς επαυσατο
ειπεν τις των μαθητων αυτου προς αυτον, "Κυριε, διδαξον ἡμας προσευχεσθαι, καθως και
Ιωαννης εδιδαξεν τους μαθητας αυτου." 2 Ειπεν δε αυτοις: "Ὅταν προσευχησθε λεγετε:

---

[1] δε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[2] εκδυσαντες $\mathbf{f}^{35}$ $P^{45,75}$ℵA,B,C,D [85%] CP,RP,HF,TR,NU || εξεδυσαν [15%]
[3] τυγχανοντα $\mathbf{f}^{35}$ A(C) [95%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [5%] NU
[4] γενομενος $\mathbf{f}^{35}$ $P^{45}$A,C [97%] CP,RP,HF,TR[NU] || --- $P^{75}$B [3%] (Aleph omits the whole verse.)
[5] αυτον $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [3%] NU
[6] αυτον *rell* || --- CP
[7] εξελθων $\mathbf{f}^{35}$ A,C [99%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [1%] NU
[8] δυο δηναρια εδωκεν $\mathbf{f}^{35}$ ℵA,C [97%] CP,RP,HF,TR || ~ 312 $P^{45,75}$B [3%] NU
[9] αυτω $\mathbf{f}^{35}$ ℵA,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$B [3%] NU
[10] ουν $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [3%] NU
[11] πλησιον δοκει σοι $\mathbf{f}^{35}$ $P^{75}$ℵA,B,C [90%] CP,RP,HF,NU || ~ 231 $P^{45}$D [10%] TR
[12] ουν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || δε $P^{45,75}$ℵB,C,D [5%] NU
[13] εγενετο δε εν $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || εν δε $P^{45,75}$ℵB [3%] NU
[14] και $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [3%] NU
[15] εις τον οικον αυτης $\mathbf{f}^{35}$ A,D,W (99.3%) CP,RP,HF,TR || εις την οικιαν $P^{3}$ℵC (0.4%) || --- $P^{45,75}$B (0.2%) NU
[16] μαρια $\mathbf{f}^{35}$ $P^{45}$A,B [97%] CP,RP,HF,TR || μαριαμ $P^{75}$ℵC [3%] NU
[17] η $\mathbf{f}^{35}$ A,B,C [98%] CP,RP,HF,TR[NU] || --- $P^{45,75}$ℵ [2%]
[18] παρακαθισασα $\mathbf{f}^{35}$ $P^{45}$ [95%] CP,RP,HF,TR || παρακαθεσθεισα $P^{75}$ℵA,B,C [5%] NU
[19] παρα $\mathbf{f}^{35}$ $P^{45v}$A [95%] CP,RP,HF,TR || προς $P^{75}$ℵB,C [5%] NU
[20] ιησου $\mathbf{f}^{35}$ $P^{45,75}$A,B [99%] CP,RP,HF,TR || κυριου ℵ [1%] NU || αυτου C
[21] των λογων $\mathbf{f}^{35}$ [25%] CP || τον λογον $P^{45,75}$ℵA,B,C [75%] RP,HF,TR,NU
[22] κατελιπεν $\mathbf{f}^{35}$ $P^{45,75}$ℵD [80%] CP,TR,NU || κατελειπεν A,B,C [20%] RP,HF (RP and HF were misled by von Soden.)
[23] ο ιησους ειπεν αυτη $\mathbf{f}^{35}$ D [35%] CP || ~ 3412 AC [64%] RP,HF,TR || ~ 341 κυριος $P^{3,75}$ℵB [1%] NU || 1 κυριος 34 $P^{45}$
[24] τυρβαζη $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || θορυβαζη $P^{3,45,75}$ℵB,C(D)W [5%] NU
[25] μαρια $\mathbf{f}^{35}$ ℵA,C [98%] CP,RP,HF,TR || μαριαμ $P^{75}$B [2%] NU
[26] δε $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || γαρ $P^{75}$ℵB [3%] NU
[27] απ $\mathbf{f}^{35}$ $P^{75}$A,C [97%] CP,RP,HF,TR || --- ℵB [3%] NU

Πατερ ἡμων ὁ εν τοις ουρανοις,[1] ἁγιασθητω το ονομα σου. Ελθετω ἡ βασιλεια σου·
γενηθητω το θελημα σου, ὡς εν ουρανω[2] και επι της γης.[3] 3 Τον αρτον ἡμων τον επιουσιον
διδου ἡμιν το καθ' ἡμεραν· 4 και αφες ἡμιν τας ἁμαρτιας ἡμων, και γαρ αυτοι αφιεμεν[4]
παντι οφειλοντι ἡμιν· και μη εισενεγκης ἡμας εις πειρασμον, αλλα ῥυσαι ἡμας απο του
πονηρου."[5]

*[A request at midnight]*

**5** Και ειπεν προς αυτους: "Τίς εξ ὑμων ἑξει φιλον και πορευσεται προς αυτον
μεσονυκτιου και ειπη αυτω, 'Φιλε, χρησον μοι τρεις αρτους, 6 επειδη φιλος[6] παρεγενετο εξ
ὁδου προς με, και ουκ εχω ὃ παραθησω αυτω.' 7 Κακεινος εσωθεν αποκριθεις ειπη, 'Μη μοι
κοπους παρεχε· ηδη ἡ θυρα κεκλεισται, και τα παιδια μου μετ' εμου εις την κοιτην εισιν·
ου δυναμαι αναστας δουναι σοι'? 8 Λεγω ὑμιν, ει και ου δωσει αυτω αναστας δια το ειναι
αυτου φιλον,[7] δια γε την αναιδειαν αυτου εγερθεις δωσει αυτω ὁσον[8] χρηζει.

**9** "Καγω ὑμιν λεγω, αιτειτε, και δοθησεται ὑμιν· ζητειτε, και εὑρησετε· κρουετε,
και ανοιγησεται[9] ὑμιν. 10 Πας γαρ ὁ αιτων λαμβανει, και ὁ ζητων εὑρισκει, και τω
κρουοντι ανοιγησεται.[10] 11 Τίνα δε[11] ὑμων τον πατερα αιτησει ὁ υἱος αρτον, μη λιθον
επιδωσει[12] αυτω?[13] `Η και[14] ιχθυν, μη[15] αντι ιχθυος οφιν επιδωσει αυτω?[16] 12 `Η και εαν[17]
αιτηση[18] ωον, μη[19] επιδωσει αυτω σκορπιον? 13 Ει ουν ὑμεις πονηροι ὑπαρχοντες οιδατε
δοματα αγαθα[20] διδοναι τοις τεκνοις ὑμων, ποσω μαλλον ὁ Πατηρ ὁ εξ ουρανου[21] δωσει
Πνευμα 'Αγιον τοις αιτουσιν αυτον."

*[A divided house]*

**14** Και ἠν εκβαλλων δαιμονιον, και αυτο ἠν[22] κωφον. Εγενετο δε, του δαιμονιου
εξελθοντος, ελαλησεν ὁ κωφος· και εθαυμασαν οἱ οχλοι. 15 Τινες δε εξ αυτων ειπον, "Εν
Βεελζεβουλ, αρχοντι[23] των δαιμονιων, εκβαλλει τα δαιμονια." 16 'Ετεροι δε πειραζοντες
σημειον παρ' αυτου εζητουν εξ ουρανου.[24] 17 Αυτος δε ειδως αυτων τα διανοηματα[25] ειπεν
αυτοις: "Πασα βασιλεια εφ' ἑαυτην διαμερισθεισα[26] ερημουται, και οικος επι οικον πιπτει.
18 Ει δε και ὁ Σατανας εφ' ἑαυτον διεμερισθη,[27] πως σταθησεται ἡ βασιλεια αυτου? 'Οτι

---

[1] ημων ο εν τοις ουρανοις **f**$^{35}$ A,C,D,W [99%] it,syr,cop,Diat,CP,RP,HF,TR || --- $P^{75}$ℵB [1%] NU
[2] γενηθητω το θελημα σου ως εν ουνανω **f**$^{35}$ ℵA,C [99%] CP,RP,HF,TR || --- $P^{75}$B [1%] NU
[3] και επι της γης **f**$^{35}$ [95%] CP,RP,HF,TR || 124 A,C,D,W [4%] || ουτω και επι γης ℵ || --- $P^{75}$B [1%] NU
[4] αφιεμεν **f**$^{35}$ ℵ [95%] CP,RP,HF,TR || αφιομεν $P^{75}$A,B,C [5%] NU
[5] αλλα ρυσαι ημας απο του πονηρου **f**$^{35}$ A,C,D,W [97%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [3%] NU
[6] φιλος **f**$^{35}$ C [50%] CP,RP,HF || φιλος μου $P^{75}$ℵA,B,D [50%] TR,NU
[7] αυτου (αυτον A) φιλον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 $P^{45v,75}$ℵB,C [5%] NU
[8] οσον **f**$^{35}$ D [80%] CP,RP,HF || οσων $P^{45,75}$ℵA,B,C [20%] TR,NU
[9] ανοιγησεται **f**$^{35}$ $P^{75}$ℵA,B,C [75%] CP,RP,HF,TR,NU [ανυγησεται $P^{45}$] || ανοιχθησεται D [25%]
[10] ανοιγησεται **f**$^{35}$ C [60%] CP,RP,HF,TR[NU] [ανυγησεται (ℵ)$P^{45}$] || ανοιχθησεται A,W [40%] || ανοιγεται $P^{75}$B,D
[11] δε **f**$^{35}$ [80%] CP,RP,HF,TR || δε εξ $P^{45,75}$ℵA,B,C [20%] NU
[12] επιδωσει *rell* || δωσει [ ] CP
[13] αρτον μη λιθον επιδωσει αυτω **f**$^{35}$ ℵA,C(D)W [98%] CP,RP,HF,TR || --- $P^{45,75}$B [2%] NU
[14] η και **f**$^{35}$ A(C)D,W [88%] CP,RP,HF,TR || ει και [10%] TR || η ℵ [1%] || --- $P^{45,75}$B [1%] NU
[15] μη **f**$^{35}$ ℵA,C,D,W [98%] CP,RP,HF,TR || και $P^{45,75}$B [2%] NU
[16] επιδωσει αυτω **f**$^{35}$ $P^{45}$ℵA [98%] CP,RP,HF,TR || ~ 21 $P^{75}$B [2%] NU
[17] εαν **f**$^{35}$ $P^{45v}$(C) [85%] CP,RP,HF,TR [αν A] || --- $P^{75}$ℵB,D [15%] NU
[18] αιτηση **f**$^{35}$ $P^{45v}$ [85%] CP,RP,HF,TR || αιτησει $P^{75}$ℵA,B(C)D [15%] NU
[19] μη **f**$^{35}$ ℵA,C(D)W [95%] CP,RP,HF,TR || --- $P^{45v,75}$B [5%] NU
[20] δοματα αγαθα **f**$^{35}$ $P^{75}$ℵA,B,C,D [96%] RP,HF,NU || ~ 21 $P^{45}$ [4%] CP,TR
[21] ο εξ ουρανου **f**$^{35}$ A,B,D,W [98%] CP,RP,HF,TR[NU] || 23 $P^{75}$ℵ [2%] || υμων ο εξ ουρανου C || υμων ο ουρανιος $P^{45}$
[22] και ουτο ην **f**$^{35}$ C,W (98.3%) CP,RP,HF,TR[NU] || --- $P^{45,75}$ℵA,B (1.6%)
[23] αρχοντι **f**$^{35}$ [95%] CP,RP,HF,TR || τω αρχοντι $P^{45,75}$ℵB,C [5%] NU || των αρχοντι A
[24] παρ αυτου εζητουν εξ ουρανου **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 45312 $P^{45,75}$ℵA,B,C [5%] NU
[25] αυτων τα διανοηματα **f**$^{35}$ $P^{75}$ℵB,C [98%] RP,HF,TR,NU || ~ 231 $P^{45}$A [2%] CP
[26] διαμερισθεισα **f**$^{35}$ $P^{75}$ℵA,B [95%] RP,HF,TR,NU || μερισθεισα $P^{45}$C [5%] CP
[27] διεμερισθη **f**$^{35}$ $P^{75}$A,B [95%] RP,HF,TR,NU || εμερισθη $P^{45}$ℵC [5%] CP

λεγετε εν Βεελζεβουλ εκβαλλειν με τα δαιμονια. 19 Ει δε εγω εν Βεελζεβουλ εκβαλλω τα
δαιμονια, οἱ υἱοι ὑμων εν τίνι εκβαλλουσιν? Δια τουτο κριται ὑμων αυτοι εσονται.[1] 20
Ει δε εν δακτυλω Θεου[2] εκβαλλω τα δαιμονια, αρα εφθασεν εφ' ὑμας ἡ βασιλεια του Θεου.
21 'Οταν ὁ ισχυρος καθωπλισμενος φυλασση την ἑαυτου αυλην, εν ειρηνη εστιν τα
υπαρχοντα αυτου. 22 Επαν δε ὁ[3] ισχυροτερος αυτου επελθων νικηση αυτον, την πανοπλιαν
αυτου αιρει εφ' ᾗ επεποιθει, και τα σκυλα αυτου διαδιδωσιν.

23 "'Ο μη ων μετ' εμου κατ' εμου εστιν, και ὁ μη συναγων μετ' εμου σκορπιζει.

*[An empty house]*

**24** "'Οταν το ακαθαρτον πνευμα εξελθη απο του ανθρωπου, διερχεται δι' ανυδρων
τοπων ζητουν αναπαυσιν· και μη εὑρισκον[4] λεγει, 'Ὑποστρεψω εις τον οικον μου ὁθεν
εξηλθον.' 25 Και ελθον[5] εὑρισκει σεσαρωμενον και κεκοσμημενον. 26 Τοτε πορευεται και
παραλαμβανει ἑπτα ἑτερα πνευματα πονηροτερα ἑαυτου,[6] και ελθοντα[7] κατοικει εκει· και
γινεται τα εσχατα του ανθρωπου εκεινου χειρονα των πρωτων."

*[True blessedness]*

**27** Εγενετο δε[8] εν τω λεγειν αυτον ταυτα, επαρασα τις γυνη φωνην[9] εκ του οχλου
ειπεν αυτω, "Μακαρια ἡ κοιλια ἡ βαστασασα σε και μαστοι οὓς εθηλασας!" 28 Αυτος δε
ειπεν, "Μενουν γε[10] μακαριοι οἱ ακουοντες τον λογον του Θεου και φυλασσοντες αυτον!"[11]

*[Jonah is a sign]*

**29** Των δε οχλων επαθροιζομενων ηρξατο λεγειν: "'Η γενεα αὑτη[12] πονηρα εστιν.
Σημειον επιζητει,[13] και σημειον ου δοθησεται αυτη ει μη το σημειον Ιωνα του προφητου.[14]
30 Καθως γαρ εγενετο Ιωνας σημειον τοις Νινευιταις,[15] οὑτως εσται και ὁ Υἱος του
Ανθρωπου τη γενεα ταυτη. 31 Βασιλισσα νοτου εγερθησεται εν τη κρισει μετα των ανδρων
της γενεας ταυτης και κατακρινει αυτους, ὁτι ηλθεν εκ των περατων της γης ακουσαι την
σοφιαν Σολομωνος,[16] και ιδου, πλειον Σολομωνος[17] ὡδε. 32 Ανδρες Νινευι[18] αναστησονται
εν τη κρισει μετα της γενεας ταυτης και κατακρινουσιν αυτην, ὁτι μετενοησαν εις το
κηρυγμα Ιωνα, και ιδου, πλειον Ιωνα ὡδε.

*[Light inside the body]*

**33** "Ουδεις δε[19] λυχνον ἁψας εις κρυπτην[20] τιθησιν ουδε ὑπο τον μοδιον,[21] αλλ' επι
την λυχνιαν, ἱνα οἱ εισπορευομενοι το φεγγος[22] βλεπωσιν. 34 'Ο λυχνος του σωματος εστιν

---

[1] κριται υμων αυτοι εσονται $\mathbf{f}^{35}$ [65%] CP,RP,HF,TR || ~ 3124 A,C [30%] || ~ 1324 [5%] || ~ 3214 $P^{75}$B,D,NU || ~ 3142 א || ~ 3421 $P^{45}$

[2] θεου $\mathbf{f}^{35}$ $P^{45}$א A [98%] CP,RP,HF,TR || θεου εγω $P^{75}$B,C [2%] [NU]

[3] ο $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$א B [3%] NU

[4] ευρισκον $\mathbf{f}^{35}$ $P^{45}$א A,C,D,W [99%] RP,HF,TR [ευρισκων CP] || ευρισκον τοτε $P^{75}$B [1%] [NU]

[5] ελθον $\mathbf{f}^{35}$ $P^{75}$א A,B [75%] RP,HF,TR,NU || ελθων $P^{45}$C,D [25%] CP

[6] επτα ετερα πνευματα πονηροτερα εαυτου $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || ~ 23451 $P^{75}$א B [3%] NU

[7] ελθοντα $\mathbf{f}^{35}$ [50%] RP,HF || εισελθοντα $P^{75}$א A,B,C,D [50%] CP,TR,NU

[8] εγενετο δε *rell* || και εγενετο [ ] CP

[9] γυνη φωνην $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || ~ 21 $P^{75}$א B [3%] NU

[10] γε $\mathbf{f}^{35}$ C [95%] CP,RP,HF,TR || --- $P^{75}$א A,B [5%] NU

[11] αυτον $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || --- $P^{75}$A,B,C [5%] NU || τον λογον του θεου א

[12] αυτη $\mathbf{f}^{35}$ C [95%] CP,RP,HF,TR || αυτη γενεα $P^{75}$א A,B [5%] NU

[13] επιζητει $\mathbf{f}^{35}$ C [95%] CP,RP,HF,TR || ζητει $P^{45v,75}$א A,B [5%] NU

[14] του προφητου $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$א B [3%] NU

[15] σημειον τοις νινευιταις $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 231 C [3%] NU || τοις νινευειταις σημειον $P^{75}$א B [2%]

[16] σολομωνος $\mathbf{f}^{35}$ $P^{45,75}$א A,B,D [70%] CP,RP,HF,NU || σολομωντος C [30%] TR

[17] σολομωνος $\mathbf{f}^{35}$ $P^{45,75}$א A,B,D [70%] CP,RP,HF,NU || σολομωντος C [30%] TR

[18] νινευι $\mathbf{f}^{35}$ [20%] CP,TR || νινευη [29%] RP,HF || νινευιται A,C [51%] NU || νινευειται $P^{45,75}$א B

[19] δε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{45,75}$א B,C [5%] NU

[20] κρυπτην $\mathbf{f}^{35}$ $P^{75}$א A,B,C,D [90%] CP,RP,HF,NU || κρυπτον $P^{45}$ [10%] TR

[21] ουδε υπο τον μοδιον $\mathbf{f}^{35}$ א A,B,C,D,W [99%] CP,RP,HF,TR[NU] || --- $P^{45,75}$ [1%]

[22] φεγγος $\mathbf{f}^{35}$ $P^{45}$A [95%] CP,RP,HF,TR || φως $P^{75}$א B,C [5%] NU

ὁ οφθαλμος.[1] Ὁταν ουν[2] ὁ οφθαλμος σου ἁπλους ῇ[3] ὁλον το σωμα σου φωτεινον εστιν. Επαν δε πονηρος ῇ, και το σωμα σου σκοτεινον. 35 Σκοπει ουν μη το φως το εν σοι σκοτος εστιν. 36 Ει ουν το σωμα σου ὁλον φωτεινον, μη εχον τι μερος[4] σκοτεινον, εσται φωτεινον ὁλον, ὡς ὁταν ὁ λυχνος τη αστραπη φωτιζη σε."

*[Jesus derides scribes and Pharisees]*

**37** Εν δε τω λαλησαι ηρωτα[5] αυτον Φαρισαιος τις[6] ὁπως αριστηση παρ' αυτω. Εισελθων δε ανεπεσεν. 38 Ὁ δε Φαρισαιος ιδων εθαυμασεν ὁτι ου πρωτον εβαπτισθη προ του αριστου. 39 Ειπεν δε ὁ Κυριος προς αυτον: "Νυν ὑμεις οἱ Φαρισαιοι το εξωθεν του ποτηριου και του πινακος καθαριζετε, το δε εσωθεν ὑμων γεμει ἁρπαγης και πονηριας. 40 Αφρονες! Ουχ ὁ ποιησας το εξωθεν και το εσωθεν εποιησεν? 41 Πλην τα ενοντα δοτε ελεημοσυνην και ιδου, παντα καθαρα ὑμιν εστιν.

42 "Αλλ'[7] ουαι ὑμιν τοις Φαρισαιοις! Ὁτι αποδεκατουτε το ἡδυοσμον και το πηγανον και παν λαχανον, και παρερχεσθε την κρισιν και την αγαπην του θεου. Ταυτα[8] εδει ποιησαι κακεινα μη αφιεναι.[9] 43 Ουαι ὑμιν τοις Φαρισαιοις! Ὁτι αγαπατε την πρωτοκαθεδριαν εν ταις συναγωγαις και τους ασπασμους εν ταις αγοραις. 44 Ουαι ὑμιν, γραμματεις και Φαρισαιοι, ὑποκριται![10] Ὁτι εστε ὡς τα μνημεια τα αδηλα, και οἱ ανθρωποι[11] περιπατουντες επανω ουκ οιδασιν."

**45** Αποκριθεις δε τις των νομικων λεγει αυτω, "Διδασκαλε, ταυτα λεγων και ἡμας ὑβριζεις." 46 Ὁ δε ειπεν: "Και ὑμιν τοις νομικοις ουαι! Ὁτι φορτιζετε τους ανθρωπους φορτια δυσβαστακτα, και αυτοι ἑνι των δακτυλων ὑμων ου προσψαυετε τοις φορτιοις. 47 Ουαι ὑμιν! Ὁτι οικοδομειτε τα μνημεια των προφητων, οἱ δε πατερες ὑμων απεκτειναν αυτους. 48 Αρα μαρτυρειτε[12] και συνευδοκειτε τοις εργοις των πατερων ὑμων· ὁτι αυτοι μεν απεκτειναν αυτους, ὑμεις δε οικοδομειτε αυτων τα μνημεια.[13] 49 Δια τουτο και ἡ σοφια του Θεου ειπεν: Αποστελω εις αυτους προφητας και αποστολους, και εξ αυτων αποκτενουσιν και εκδιωξουσιν,[14] 50 ἱνα εκζητηθη το αἱμα παντων των προφητων το εκχυνομενον[15] απο καταβολης κοσμου απο της γενεας ταυτης, 51 απο του[16] αἱματος Ἀβελ ἑως του[17] αἱματος Ζαχαριου του απολομενου μεταξυ του θυσιαστηριου και του οικου. Ναι, λεγω ὑμιν, εκζητηθησεται απο της γενεας ταυτης. 52 Ουαι ὑμιν τοις νομικοις, ὁτι ηρατε την κλειδα της γνωσεως· αυτοι ουκ εισηλθετε,[18] και τους εισερχομενους εκωλυσατε."

53 Λεγοντος δε αυτου ταυτα προς αυτους,[19] ηρξαντο οἱ γραμματεις και οἱ Φαρισαιοι δεινως συνεχειν[20] και αποστοματιζειν αυτον περι πλειονων, 54 ενεδρευοντες αυτον, ζητουντες[1] θηρευσαι τι εκ του στοματος αυτου ἱνα κατηγορησωσιν αυτου.[2]

---

[1] οφθαλμος **f[35]** [95%] CP,RP,HF,TR || οφθαλμος σου P[45,75]אA,B,C [5%] NU

[2] ουν **f[35]** A,C [97%] CP,RP,HF,TR || --- P[45,75]אB [3%] NU

[3] η **f[35]** C,D [25%] CP || 1 και P[45,75]אA,B [75%] RP,HF,TR,NU

[4] τι μερος **f[35]** א [95%] CP,RP,HF,TR || ~21 P[75]A,B [4%] NU || 2 C [1%] || ~ μελος 1 P[45]

[5] ηρωτα **f[35]** P[45]C [95%] CP,RP,HF,TR || ερωτα P[75]אA,B [5%] NU

[6] τις **f[35]** A,C [97%] CP,RP,HF,TR || --- P[45,75]אB [3%] NU

[7] αλλ **f[35]** [95%] CP,RP,HF,TR || αλλα [5%] NU

[8] ταυτα **f[35]** אA [95%] CP,RP,HF,TR || ταυτα δε P[45,75]B,C [5%] NU

[9] αφιεναι **f[35]** C [95%] CP,RP,HF,TR || αφειναι P[45]א [2%] || παρειναι P[75]B [2%] NU || παραφιεναι A [1%]

[10] γραμματεις και φαρισαιοι υποκριται **f[35]** A [95%] CP,RP,HF,TR || --- P[45,75]אB,C [5%] NU

[11] ανθρωποι **f[35]** P[75]A,D [90%] CP,RP,HF || ανθρωποι οι אB,C [10%] TR[NU]

[12] μαρτυρειτε **f[35]** P[75]A,C [97%] CP,RP,HF,TR || μαρτυρες εστε אB [3%] NU

[13] αυτων τα μνημεια **f[35]** A,C,W (98.1%) CP,RP,HF,TR || αυτων τα ταφους (1.1%) || --- P[75]אB,D (0.6%) NU

[14] εκδιωξουσιν **f[35]** A [95%] CP,RP,HF,TR || διωξουσιν P[75]אB,C [5%] NU

[15] εκχυνομενον **f[35]** P[75] [95%] CP,RP,HF,TR || εκχυννομενον אA,C [4%] || εκκεχυμενον P[45v]B [1%] NU

[16] του **f[35]** A [95%] CP,RP,HF,TR || --- P[45,75]אB,C [5%] NU

[17] του **f[35]** A,C [97%] CP,RP,HF,TR || --- P[75]אB [3%] NU

[18] εισηλθετε **f[35]** [95%] CP,RP,HF,TR || εισηλθατε [5%] NU

[19] λεγοντος δε αυτου ταυτα προς αυτους **f[35]** A [95%] CP,RP,HF,TR || κακειθεν εξελθοντος (εξελθοντες P[75]) αυτου P[75]אB,C [5%] NU

[20] συνεχειν **f[35]** [20%] CP || ενεχειν P[75]אA,B [79%] RP,HF,TR,NU || εχειν P[45]D [1%] || επεχειν C

*[Beware of hypocrisy]*

**12**.1 Εν οἷς επισυναχθεισων των μυριαδων του οχλου, ὥστε καταπατειν αλληλους,
ηρξατο λεγειν προς τους μαθητας αυτου πρωτον: “Προσεχετε ἑαυτοις απο της ζυμης των
Φαρισαιων, ἥτις εστιν ὑποκρισις.[3] 2 Ουδεν δε συγκεκαλυμμενον εστιν ὃ ουκ
αποκαλυφθησεται, και κρυπτον ὃ ου γνωσθησεται. 3 Ανθ’ ὧν ὅσα εν τη σκοτια ειπατε εν
τω φωτι ακουσθησεται, και ὃ προς το ους ελαλησατε εν τοις ταμειοις[4] κηρυχθησεται επι
των δωματων.

*[Don’t fear assassins]*

**4** “Λεγω δε ὑμιν τοις φιλοις μου, μη φοβηθητε απο των αποκτενοντων[5] το σωμα και
μετα ταυτα μη εχοντων περισσοτερον τι ποιησαι. 5 Ὑποδειξω δε ὑμιν τίνα φοβηθητε:
Φοβηθητε τον μετα το αποκτειναι εξουσιαν εχοντα[6] εμβαλειν εις την Γεενναν· ναι, λεγω
ὑμιν, τουτον φοβηθητε! 6 Ουχι πεντε στρουθια πωλειται[7] ασσαριων δυο? Και ἓν εξ αυτων
ουκ εστιν επιλελησμενον ενωπιον του Θεου. 7 Αλλα και αἱ τριχες της κεφαλης ὑμων πασαι
ηριθμηνται. Μη ουν[8] φοβεισθε· πολλων[9] στρουθιων διαφερετε.[10]

*[You confess Christ, He’ll confess you]*

**8** “Λεγω δε ὑμιν, πας ὃς αν ὁμολογηση εν εμοι εμπροσθεν των ανθρωπων και ὁ
Υἱος του Ανθρωπου ὁμολογησει εν αυτω[11] εμπροσθεν των αγγελων του Θεου. 9 Ὁ δε
αρνησαμενος με ενωπιον των ανθρωπων απαρνηθησεται ενωπιον των αγγελων του Θεου.
10 Και πας ὃς ερει λογον εις τον Υἱον του Ανθρωπου, αφεθησεται αυτω· τω δε εις το
Ἁγιον Πνευμα βλασφημησαντι ουκ αφεθησεται. 11 Ὅταν δε προσφερωσιν[12] ὑμας επι τας
συναγωγας και τας αρχας και τας εξουσιας, μη μεριμνατε[13] πως ἢ τί απολογησεσθε[14] ἢ τί
ειπητε. 12 Το γαρ Ἁγιον Πνευμα διδαξει ὑμας εν αυτη τη ὥρα ἃ δει ειπειν.”

*[Beware of materialism]*

**13** Ειπεν δε τις αυτω εκ του οχλου,[15] “Διδασκαλε, ειπε τω αδελφω μου μερισασθαι
μετ’ εμου την κληρονομιαν.” 14 Ὁ δε ειπεν αυτω, “Ανθρωπε, τίς με κατεστησεν δικαστην[16]
ἢ μεριστην εφ’ ὑμας?” 15 Ειπεν δε προς αυτους, “Ὁρατε και φυλασσεσθε απο της[17]
πλεονεξιας, ὅτι ουκ εν τω περισσευειν τινι ἡ ζωη αυτου[18] εστιν εκ των ὑπαρχοντων
αυτου.”[19]

[Parable of a rich fool]

**16** Ειπεν δε παραβολην προς αυτους λεγων: “Ανθρωπου τινος πλουσιου ευφορησεν ἡ
χωρα. 17 Και διελογιζετο εν ἑαυτου λεγων, ‘Τί ποιησω, ὅτι ουκ εχω που συναξω τους
καρπους μου?’ 18 Και ειπεν: ‘Τουτο ποιησω· καθελω μου τας αποθηκας και μειζονας

---

[1] αυτον ζητουντες $\mathbf{f}^{35}$ A,C [85%] CP,RP,HF || αυτον και ζητουντες [13%] TR || αυτον $P^{45,75}$B [2%] NU || --- ℵ
[2] ινα κατηγορησωσιν (κατηγορησουσιν A) αυτου $\mathbf{f}^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [3%] NU
[3] των φαρισαιων ητις εστιν υποκρισις $\mathbf{f}^{35}$ $P^{45}$ℵA,C,D,W [98%] CP,RP,HF,TR || ~ 34512 $P^{75}$B [2%] NU
[4] ταμειοις *rell* || ταμιειοις [3%] CP
[5] αποκτενοντων $\mathbf{f}^{35}$ D [72%] CP,RP,HF || αποκτεννοντων ℵA [3%] || αποκτεινοντων $P^{45,75}$B [25%] TR,NU
[6] εξουσιαν εχοντα $\mathbf{f}^{35}$ $P^{45}$ [60%] CP,RP,HF,TR || ~ 21 $P^{75}$ℵA,B,D [40%] NU
[7] πωλειται $\mathbf{f}^{35}$ $P^{45}$ [95%] CP,RP,HF,TR || πωλειτε A [1%] || πωλουνται $P^{75}$ℵB [4%] NU
[8] ουν $\mathbf{f}^{35}$ ℵA [97%] CP,RP,HF,TR || --- $P^{45,75}$B [3%] NU
[9] πολλων *rell* || πολλω [ ] CP
[10] διαφερετε $\mathbf{f}^{35}$ $P^{75}$ℵA,B [80%] RP,HF,TR,NU || διαφερετε υμεις D [20%] CP
[11] αυτω *rell* || εαυτω [ ] CP
[12] προσφερωσιν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || εισφερωσιν $P^{45,75}$ℵB [5%] NU
[13] μη μεριμνατε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || μη μεριμνησητε ℵB [5%] NU || μη μεριμνη μη μεριμνησητε $P^{75}$
[14] απολογησεσθε $\mathbf{f}^{35}$ [25%] CP || απολογησησθε $P^{45v,75}$ℵA,B [75%] RP,HF,TR,NU
[15] αυτω εκ του οχλου $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 2341 $P^{75}$ℵB [5%] NU
[16] δικαστην $\mathbf{f}^{35}$ A,W (95.9%) CP,RP,HF,TR || κριτην $P^{75}$ℵB(D) (2.2%) NU || αρχοντα (1%) || αρχοντα και δικαστην (0.8%)
[17] της $\mathbf{f}^{35}$ [60%] CP,RP,HF,TR || πασης $P^{75}$ℵA,B,D [40%] NU
[18] αυτου $\mathbf{f}^{35}$ $P^{75}$ℵA,B [75%] CP,TR,NU || αυτω [25%] RP,HF (RP and HF were misled by von Soden.)
[19] αυτου $\mathbf{f}^{35}$ ℵA [97%] CP,RP,HF,TR || αυτω $P^{75}$B [3%] NU

οικοδομησω, και συναξω εκει παντα τα γενηματα[1] μου[2] και τα αγαθα μου. 19 Και ερω τη ψυχη μου: Ψυχη, εχεις πολλα αγαθα κειμενα εις ετη πολλα· αναπαυου, φαγε, πιε, ευφραινου.’ 20 Ειπεν δε αυτω ὁ Θεος, ‘Αφρον,[3] ταυτη τη νυκτι την ψυχην σου απαιτουσιν απο σου· ἁ δε ἡτοιμασας, τίνι εσται?’ 21 Οὑτως ὁ θησαυριζων ἑαυτω και μη εις Θεον πλουτων.”

[The mentality of the Kingdom]

**22** Ειπεν δε προς τους μαθητας αυτου:[4] “Δια τουτο λεγω ὑμιν,[5] μη μεριμνατε τη ψυχη ὑμων,[6] τί φαγητε· μηδε τω σωματι, τί ενδυσεσθε.[7] 23 Ἡ[8] ψυχη πλειων[9] εστιν της τροφης, και το σωμα του ενδυματος. 24 Κατανοησατε τους κορακας, ὁτι ου σπειρουσιν ουδε θεριζουσιν, οἱς ουκ εστιν ταμειον ουδε αποθηκη, και ὁ Θεος τρεφει αυτους. Ποσω μαλλον ὑμεις διαφερετε των πετεινων! 25 Τίς δε εξ ὑμων μεριμνων δυναται προσθειναι επι την ἡλικιαν αυτου[10] πηχυν ἑνα?[11] 26 Ει ουν ουτε[12] ελαχιστον δυνασθε, τί περι των λοιπων μεριμνατε?

**27** “Κατανοησατε τα κρινα πως αυξανει· ου κοπια ουδε νηθει· λεγω δε[13] ὑμιν, ουδε Σολομων εν παση τη δοξη αυτου περιεβαλετο ὡς ἑν τουτων. 28 Ει δε τον χορτον εν τω αγρω σημερον οντα[14] και αυριον εις κλιβανον βαλλομενον ὁ Θεος οὑτως αμφιεννυσιν,[15] ποσω μαλλον ὑμας, ολιγοπιστοι! 29 Και ὑμεις μη ζητειτε τί φαγητε ἡ[16] τί πιητε, και μη μετεωριζεσθε. 30 Ταυτα γαρ παντα τα εθνη του κοσμου επιζητει,[17] ὑμων δε ὁ Πατηρ οιδεν ὁτι χρηζετε τουτων. 31 Πλην ζητειτε την βασιλειαν του Θεου,[18] και ταυτα παντα[19] προστεθησεται ὑμιν.

**32** “Μη φοβου, το μικρον ποιμνιον, ὁτι ευδοκησεν ὁ Πατηρ ὑμων δουναι ὑμιν την βασιλειαν. 33 Πωλησατε τα ὑπαρχοντα ὑμων και δοτε ελεημοσυνην. Ποιησατε ἑαυτοις βαλαντια[20] μη παλαιουμενα, θησαυρον ανεκλειπτον εν τοις ουρανοις, ὁπου κλεπτης ουκ εγγιζει ουδε σης διαφθειρει. 34 Ὁπου γαρ εστιν ὁ θησαυρος ὑμων, εκει και ἡ καρδια ὑμων εσται.

*[Watchfulness enjoined]*

**35** “Εστωσαν ὑμων αἱ οσφυες περιεζωσμεναι και οἱ λυχνοι καιομενοι, 36 και ὑμεις ὁμοιοι ανθρωποις προσδεχομενοις τον κυριον ἑαυτων, ποτε αναλυσει[21] εκ των γαμων, ἱνα ελθοντος και κρουσαντος ευθεως ανοιξωσιν αυτω. 37 Μακαριοι οἱ δουλοι εκεινοι, οὓς ελθων ὁ κυριος εὑρησει γρηγορουντας. Αμην λεγω ὑμιν ὁτι περιζωσεται και ανακλινει

---

[1] τα γενηματα **f**$^{352/3}$ ℵA,D [80%] CP,RP,HF,TR || τα γεννηματα **f**$^{351/3}$ [18%] || τον σιτον P$^{45,75}$B [2%] NU
[2] μου **f**$^{35}$ P$^{45}$ℵA [98%] CP,RP,HF,TR || --- B [2%] NU
[3] αφρον **f**$^{35}$ [65%] CP,RP,HF || αφρων P$^{75}$ℵA,B [35%] TR,NU
[4] αυτου **f**$^{35}$ ℵA,D,W [99%] CP,RP,HF,TR[NU] || --- P$^{75}$B [1%]
[5] λεγω υμιν **f**$^{35}$ P$^{75}$ℵB,D [25%] NU || ~ 21 A [75%] CP,RP,HF,TR (**f**$^{35}$ [**K**$^{r}$] is independent of **K**$^{x}$, and has the earliest attestation.)
[6] υμων **f**$^{35}$ P$^{45}$ [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵA,B [5%] NU
[7] ενδυσεσθε **f**$^{35}$ [20%] || ενδυσησθε P$^{45,75}$ℵA,B,D [80%] CP,RP,HF,TR,NU
[8] η **f**$^{35}$ P$^{45}$A [95%] CP,RP,HF,TR || η γαρ P$^{75}$ℵB [5%] NU
[9] πλειων **f**$^{35}$ [20%] || πλειον P$^{45,75}$ℵA,B [80%] CP,RP,HF,TR,NU
[10] προσθειναι (προσθηναι [34%]) επι την ηλικιαν αυτου **f**$^{35}$ P$^{45}$ℵA [99%] CP,RP,HF,TR || ~ 23451 P$^{75}$B [1%] NU
[11] ενα **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{45,75}$ℵB [5%] NU
[12] ουτε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ουδε P$^{45,75}$ℵB [5%] NU
[13] δε **f**$^{351/3}$ P$^{75}$ℵA,B [90%] CP,RP,HF,TR,NU || --- **f**$^{352/3}$ P$^{45}$204 [10%]
[14] τον χορτον εν τω αγρω σημερον οντα **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 126357 A [2%] || ~ 351276 P$^{75}$ℵB [3%] NU || ~ 356127 P$^{45}$
[15] αμφιεννυσιν **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || αμφιεζει P$^{45,75}$ [3%] NU || αμφιαζει B
[16] η **f**$^{35}$ P$^{75}$A [96%] CP,RP,HF,TR || και P$^{45}$ℵB [4%] NU
[17] επιζητει **f**$^{35}$ P$^{45}$A [96%] CP,RP,HF,TR || επιζητουσιν P$^{75}$ℵB [4%] NU
[18] του θεου **f**$^{35}$ P$^{45}$A [96%] CP,RP,HF,TR || αυτου P$^{75}$ℵB [4%] NU
[19] παντα **f**$^{35}$ A,D [90%] CP,RP,HF,TR || --- P$^{45,75}$ℵB [10%] NU
[20] βαλαντια **f**$^{35}$ [70%] CP,RP,HF,TR || βαλλαντια P$^{45,75}$ℵA,B [30%] NU
[21] αναλυσει **f**$^{35}$ [75%] CP,RP,HF,TR || αναλυση P$^{75}$ℵA,B,D [25%] NU

αυτους, και παρελθων διακονησει αυτοις. 38 Και εαν ελθη εν τη δευτερα φυλακη, και[1] εν
τη τριτη φυλακη ελθη, και εὑρη οὑτως, μακαριοι εισιν οἱ δουλοι εκεινοι.[2] 39 Τουτο δε
γινωσκετε, ὁτι ει ηδει ὁ οικοδεσποτης ποια ὡρα ὁ κλεπτης ερχεται, εγρηγορησεν αν, και[3]
ουκ αν[4] αφηκεν διορυγηναι[5] τον οικον αυτου. 40 Και ὑμεις ουν[6] γινεσθε ἑτοιμοι, ὁτι ᾗ
ὡρα ου δοκειτε ὁ Υἱος του Ανθρωπου ερχεται."

**41** Ειπεν δε αυτω[7] ὁ Πετρος, "Κυριε, προς ἡμας την παραβολην ταυτην λεγεις, ἢ
και προς παντας?" 42 Ειπεν δε[8] ὁ Κυριος: "Τίς αρα εστιν ὁ πιστος οικονομος και[9]
φρονιμος, ὃν καταστησει ὁ κυριος επι της θεραπειας αυτου, του διδοναι εν καιρω το[10]
σιτομετριον? 43 Μακαριος ο δουλος εκεινος, ὃν ελθων ὁ κυριος αυτου εὑρησει ποιουντα
οὑτως. 44 Αληθως λεγω ὑμιν ὁτι επι πασιν τοις ὑπαρχουσιν αυτου καταστησει αυτον.
45 Εαν δε ειπη ὁ δουλος εκεινος εν τη καρδια αυτου, 'Χρονιζει ὁ κυριος μου ερχεσθαι',
και αρξηται τυπτειν τους παιδας και τας παιδισκας, εσθιειν τε και πινειν και μεθυσκεσθαι,
46 ἡξει ὁ κυριος του δουλου εκεινου εν ἡμερα ᾗ ου προσδοκα, και εν ὡρα ᾗ ου γινωσκει,
και διχοτομησει αυτον και το μερος αυτου μετα των απιστων θησει. 47 Εκεινος δε ὁ δουλος
ὁ γνους το θελημα του κυριου αυτου[11] και μη ἑτοιμασας μηδε[12] ποιησας προς το θελημα
αυτου δαρησεται πολλας. 48 Ὁ δε μη γνους, ποιησας δε αξια πληγων, δαρησεται ολιγας.
Παντι δε ᾧ εδοθη πολυ, πολυ ζητηθησεται παρ' αυτου· και ᾧ παρεθεντο πολυ, περισσοτερον
αιτησουσιν αυτον.

*[Christ causes division]*

**49** "Πυρ ηλθον βαλειν εις[13] την γην, και τί θελω ει ηδη ανηφθη! 50 Βαπτισμα δε
εχω βαπτισθηναι, και πως συνεχομαι ἑως οὗ[14] τελεσθη! 51 Δοκειτε ὁτι ειρηνην παρεγενομην
δουναι εν τη γη? Ουχι, λεγω ὑμιν, αλλ' ἢ διαμερισμον. 52 Εσονται γαρ απο του νυν πεντε
εν οικω ἑνι[15] διαμεμερισμενοι, τρεις επι δυσιν και δυο επι τρισιν. 53 Διαμερισθησεται[16]
πατηρ επι[17] υἱω και υἱος επι πατρι, μητηρ επι θυγατρι[18] και θυγατηρ επι μητρι,[19] πενθερα
επι την νυμφην αυτης και νυμφη επι την πενθεραν αυτης."[20]

*[Discern the time]*

**54** Ελεγεν δε και τοις οχλοις: "Ὁταν ιδητε την[21] νεφελην ανατελλουσαν απο[22]
δυσμων, ευθεως λεγετε,[23] 'Ομβρος ερχεται', και γινεται οὑτως. 55 Και ὁταν νοτον πνεοντα,
λεγετε ὁτι 'Καυσων εσται', και γινεται. 56 'Υποκριται! Το προσωπον του ουρανου και της

---

[1] και εαν ελθη εν τη δευτερα φυλακη και **$f^{35}$** A [95%] CP,RP,HF,TR || καν εν τη δευτερα καν $P^{75}$ℵB [5%] NU
[2] οι δουλοι εκεινοι **$f^{35}$** A [95%] CP,RP,HF,TR || εκεινοι $P^{75}$B [5%] NU || --- ℵ
[3] εγρηγορησεν αν και **$f^{35}$** A,B,W [99%] CP,RP,HF,TR || --- $P^{75}$ℵ(D) [1%] NU
[4] αν *rell* || --- [ ] CP
[5] διορυγηναι **$f^{35}$** A [95%] CP,RP,HF,TR || διορυχθηναι $P^{75}$ℵB [5%] NU
[6] ουν **$f^{35}$** A (97.9%) CP,RP,HF,TR || --- $P^{75}$ℵB (1.6%) NU || omit vs 40 (0.4%) || δε D
[7] αυτω **$f^{35}$** ℵA [97%] CP,RP,HF,TR || --- $P^{75}$B [3%] NU
[8] ειπεν δε **$f^{35}$** A [95%] CP,RP,HF,TR || και ειπεν $P^{75}$ℵB [5%] NU
[9] και **$f^{35}$** ℵA [97%] CP,RP,HF,TR || ο $P^{75}$B [3%] NU
[10] το **$f^{35}$** ℵA [97%] CP,RP,HF,TR[NU] || --- $P^{75}$B [3%]
[11] αυτου **$f^{35}$** $P^{45,75}$ℵB,D [70%] CP,NU || εαυτου A [30%] RP,HF,TR (RP and HF were misled by von Soden.)
[12] μηδε **$f^{35}$** A [95%] CP,RP,HF,TR || η $P^{75}$ℵB [5%] NU
[13] εις **$f^{35}$** $P^{45}$D [70%] CP,RP,HF,TR || επι $P^{75}$ℵA,B [30%] NU
[14] ου **$f^{35}$** [70%] CP,RP,HF,TR || οτου $P^{45,75}$ℵA,B,D [30%] NU
[15] οικω ενι **$f^{35}$** $P^{45}$A [97%] CP,RP,HF,TR || ~ 21 $P^{75}$B [3%] NU || --- ℵ
[16] διαμερισθησεται **$f^{35}$** A [95%] CP,RP,HF,TR || διαμερισθησονται $P^{45}$ℵB [5%] NU
[17] επι *rell* || εφ A,D [30%] TR
[18] θυγατρι **$f^{35}$** A [95%] CP,RP,HF,TR || την θυγατερα $P^{45,75}$ [2%] NU || θυγατερα ℵB [3%]
[19] μητρι **$f^{35}$** A [95%] CP,RP,HF,TR || την μητερα $P^{45,75}$B [3%] NU || μητερα ℵ [2%]
[20] αυτης **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [5%] NU
[21] την **$f^{35}$** $P^{45}$ [95%] CP,RP,HF,TR[NU] || --- $P^{75}$ℵA,B [5%]
[22] απο **$f^{35}$** $P^{45}$A [96%] CP,RP,HF,TR || επι $P^{75}$ℵB [4%] NU
[23] λεγετε **$f^{35}$** [95%] CP,RP,HF,TR || λεγετε οτι $P^{45,75}$ℵA,B [5%] NU

γης[1] οιδατε δοκιμαζειν, τον δε καιρον[2] τουτον πως ου δοκιμαζετε?[3] 57 Τί δε και αφ' ἑαυτων ου κρινετε το δικαιον?

*[Pay your debts on time!]*

**58** "Ὡς γαρ ὑπαγεις μετα του αντιδικου σου επ' αρχοντα, εν τη ὁδω δος εργασιαν απηλλαχθαι απ' αυτου, μηποτε κατασυρη σε προς τον κριτην, και ὁ κριτης σε παραδω[4] τω πρακτορι, και ὁ πρακτωρ βαλη[5] σε[6] εις φυλακην. 59 Λεγω σοι, ου μη εξελθης εκειθεν ἑως οὗ[7] και το[8] εσχατον λεπτον αποδως."

*[Repent or perish]*

**13.1** Παρησαν δε τινες εν αυτω τω καιρω απαγγελλοντες αυτω περι των Γαλιλαιων ὧν το αἱμα Πιλατος εμιξεν μετα των θυσιων αυτων. 2 Και αποκριθεις ὁ Ιησους[9] ειπεν αυτοις: "Δοκειτε ὁτι οἱ Γαλιλαιοι οὑτοι ἁμαρτωλοι παρα παντας τους Γαλιλαιους εγενοντο, ὁτι τοιαυτα[10] πεπονθασιν? 3 Ουχι, λεγω υμιν· αλλ' εαν μη μετανοητε[11] παντες ὡσαυτως[12] απολεισθε! 4 Ἢ εκεινοι οἱ δεκα και[13] οκτω εφ' οὓς επεσεν ὁ πυργος εν τω Σιλωαμ και απεκτεινεν αυτους, δοκειτε ὁτι οὑτοι[14] οφειλεται εγενοντο παρα παντας[15] ανθρωπους τους κατοικουντας εν[16] Ἰερουσαλημ? 5 Ουχι, λεγω ὑμιν· αλλ' εαν μη μετανοητε[17] παντες ὁμοιως[18] απολεισθε!"

*[Parable of a barren fig tree]*

**6** Ελεγεν δε ταυτην την παραβολην: "Συκην ειχεν τις εν τω αμπελωνι αυτου πεφυτευμενην,[19] και ηλθεν ζητων καρπον[20] εν αυτη και ουχ εὑρεν. 7 Ειπεν δε προς τον αμπελουργον: 'Ιδου, τρια ετη[21] ερχομαι ζητων καρπον εν τη συκη ταυτη και ουχ εὑρισκω. Εκκοψον[22] αυτην· ἱνατί και την γην καταργει?' 8 'Ο δε αποκριθεις λεγει αυτω, 'Κυριε, αφες αυτην και τουτο το ετος, ἑως ὁτου σκαψω περι αυτην και βαλω κοπρια·[23] 9 καν μεν ποιηση[24] καρπον—ει δε μηγε, εις το μελλον[25] εκκοψεις αυτην'."

*[Jesus heals a woman bound by Satan]*

---

[1] του ουρανου και της γης **f^35** P^45,75 D [40%] CP || ~ 45312 ℵA,B [60%] RP,HF,TR.NU

[2] δε καιρον **f^35** ℵA [97%] CP,RP,HF,TR || ~ 21 P^75 B [3%] NU || 2 P^45

[3] ου δοκιμαζετε **f^35** P^45 A(D)W (94.8%) CP,RP,HF,TR || ου δοκιμαζεται (3.9%) || δοκιμαζετε (0.3%) || ουκ οιδατε δοκιμαζειν P^75(ℵ)B (0.8%) NU (Three other readings.)

[4] παραδω **f^35** [95%] CP,RP,HF,TR || παραδωσει P^45 ℵA,B [5%] NU || παραδοσει P^75

[5] βαλη **f^35** A [70%] CP,RP,HF || βαλλη [25%] TR || βαλει P^75 ℵB,D [5%] NU

[6] βαλη σε **f^35** D [20%] CP || ~ 21 P^45,75 ℵA,B [80%] RP,HF,TR.NU

[7] ου **f^35** [95%] CP,RP,HF,TR [του A] || --- P^75 ℵB [5%] NU

[8] το **f^35** P^75 ℵB [70%] TR,NU || τον A [30%] CP,RP,HF (RP and HF were misled by von Soden.)

[9] ο ιησους **f^35** A,D,W [99.5%] CP,RP,HF,TR || --- P^75 ℵB [0.5%] NU

[10] τοιαυτα **f^35** P^75 A,W [99%] CP,RP,HF,TR || ταυτα ℵB,D [1%] NU

[11] μετανοητε **f^35** P^75 ℵB,W [82%] CP,RP,HF,TR,NU || μετανοησητε A,D [10%] || μετανοειτε [5%] || μετανοησετε [2%] || two other variants [1%]

[12] ωσαυτως **f^35** A,W [95%] CP,RP,HF,TR || ομοιως P^75 ℵB,D [5%] NU

[13] και **f^35** A,W [99%] CP,RP,HF,TR || --- ℵB,D [1%] NU

[14] ουτοι **f^35** [95%] CP,RP,HF,TR || αυτοι P^75 ℵA,B,W [4.5%] NU || --- D [0.5%]

[15] παντας **f^35** W [97%] CP,RP,HF,TR || 1 τους P^75 ℵA,B,D [3%] NU

[16] εν **f^35** ℵA,W [97%] CP,RP,HF,TR || --- P^75v B,D [3%] NU

[17] μετανοητε **f^35** P^75 B [80%] CP,RP,HF,TR,NU || μετανοειτε W [2%] || μετανοησητε ℵA,D [15%] || μετανοησετε [2%] || μετανοηται [1%]

[18] ομοιως **f^35** P^75 A,D,W [97%] CP,RP,HF,TR || ωσαυτως ℵB [3%] NU

[19] εν τω αμπελωνι αυτου πεφυτευμενην **f^35** A [96%] CP,RP,HF,TR || ~ 51234 P^75 B,D,W [4%] NU || ~ 5134 ℵ

[20] ζητων καρπον **f^35** P^75 ℵA,B,D [90%] CP,RP,HF,NU || ~ 21 [10%] TR

[21] ετη **f^35** A,W [98%] CP,RP,HF,TR || 1 αφ ου P^75 ℵB,D [2%] NU

[22] εκκοψον **f^35** ℵB,D,W [97%] CP,RP,HF,TR || εκκοψον ουν P^75 A [3%] [NU]

[23] κοπρια **f^35** P^45,75 ℵA,B,W [80%] CP,RP,HF,NU || κοπριαν [18%] TR || κοπρον [2%] || κοφινον κοπριων D

[24] ποιηση **f^35 1/2** P^75 ℵA,B [80%] CP,RP,HF,TR,NU || ποιησει **f^35 1/2** [20%]

[25] ει δε μηγε εις το μελλον **f^35** P^45v A,D,W [99%] CP,RP,HF,TR || ~ 456123 P^75 ℵB [1%] NU

**10** Ἠν δε διδασκων εν μια των συναγωγων εν τοις σαββασιν. 11 Και ιδου, γυνη ἠν[1] πνευμα εχουσα ασθενειας[2] ετη δεκα και[3] οκτω, και ἠν συγκυπτουσα και μη δυναμενη ανακυψαι εις το παντελες. 12 Ιδων δε αυτην ὁ Ιησους προσεφωνησεν και ειπεν αυτη, "Γυναι, απολελυσαι της ασθενειας σου." 13 Και επεθηκεν αυτη τας χειρας, και παραχρημα ανωρθωθη,[4] και εδοξαζεν τον Θεον.

**14** Αποκριθεις δε ὁ αρχισυναγωγος, αγανακτων ὁτι τω σαββατω εθεραπευσεν ὁ Ιησους, ελεγεν τω οχλω,[5] "'Εξ ἡμεραι εισιν εν αἱς δει εργαζεσθαι· εν ταυταις[6] ουν ερχομενοι θεραπευεσθε και μη τη ἡμερα του σαββατου." 15 Απεκριθη ουν[7] αυτω ὁ Κυριος και ειπεν: "'Υποκριται![8] 'Εκαστος ὑμων τω σαββατω ου λυει τον βουν αυτου ἡ τον ονον απο της φατνης και απαγαγων ποτιζει? 16 Ταυτην δε, θυγατερα 'Αβρααμ ουσαν, ἡν εδησεν ὁ Σατανας, ιδου δεκα και οκτω ετη, ουκ εδει λυθηναι απο του δεσμου τουτου τη ἡμερα του σαββατου?" 17 Και ταυτα λεγοντος αυτου, κατησχυνοντο παντες οἱ αντικειμενοι αυτω· και πας ὁ οχλος εχαιρεν επι πασιν τοις ενδοξοις τοις γινομενοις ὑπ' αυτου.

*[Two parables]*

**18** Ελεγεν δε:[9] "Τίνι ὁμοια εστιν ἡ βασιλεια του Θεου, και τίνι ὁμοιωσω αυτην? 19 'Ομοια εστιν κοκκω σιναπεως, ὁν λαβων ανθρωπος εβαλεν εις κηπον ἑαυτου, και ηυξησεν και εγενετο εις δενδρον μεγα,[10] και τα πετεινα του ουρανου κατεσκηνωσεν εν τοις κλαδοις αυτου."

20 Παλιν[11] ειπεν: "Τίνι ὁμοιωσω την βασιλειαν του Θεου? 21 'Ομοια εστιν ζυμη, ἡν λαβουσα γυνη εκρυψεν[12] εις αλευρου σατα τρια ἑως οὑ εζυμωθη ὁλον."

22 Και διεπορευετο κατα πολεις και κωμας διδασκων, και πορειαν ποιουμενος εις 'Ιερουσαλημ.[13]

*[The narrow gate]*

**23** Ειπεν δε τις αυτω, "Κυριε, ει ολιγοι οἱ σωζομενοι?" 'Ο δε ειπεν προς αυτους: 24 "Αγωνιζεσθε εισελθειν δια της στενης πυλης,[14] ὁτι πολλοι, λεγω ὑμιν, ζητησουσιν εισελθειν και ουκ ισχυσουσιν. 25 Αφ' οὑ αν εγερθη ὁ οικοδεσποτης και αποκλειση την θυραν, και αρξησθε εξω ἑσταναι και κρουειν την θυραν λεγοντες, 'Κυριε, Κυριε,[15] ανοιξον ἡμιν!' Και αποκριθεις ερει ὑμιν, 'Ουκ οιδα ὑμας ποθεν εστε.' 26 Τοτε αρξεσθε[16] λεγειν, 'Εφαγομεν ενωπιον σου και επιομεν, και εν ταις πλατειαις ἡμων εδιδαξας.' 27 Και ερει: 'Λεγω[17] ὑμιν, ουκ οιδα ὑμας[18] ποθεν εστε. Αποστητε απ' εμου, παντες οἱ[19] εργαται της[20] αδικιας.'

---

[1] ην $\mathbf{f}^{35}$ A(D)W [98.5%] CP,RP,HF,TR || --- $P^{45,75}$ℵB [1.5%] NU
[2] ασθενειας *rell* || ασθενιας [ ] CP
[3] και $\mathbf{f}^{35}$ A,D [98.5%] CP,RP,HF,TR || --- ℵB,W [1.5%] NU
[4] ανωρθωθη $\mathbf{f}^{35}$ ℵW [80%] CP,RP,HF,TR,NU || ανορθωθη $P^{75}$A,B,D [19%] || ιαθη [1%]
[5] οχλω $\mathbf{f}^{35}$ $P^{45}$A,D,W [99%] CP,RP,HF,TR || οχλω οτι $P^{75}$ℵB [1%] NU
[6] ταυταις $\mathbf{f}^{35}$ D [95%] CP,RP,HF,TR || αυταις $P^{45,75}$ℵA,B,W [5%] NU
[7] ουν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || δε $P^{45,75}$ℵB [5%] NU
[8] υποκριται $\mathbf{f}^{352/3}$ $P^{75}$ℵA,B [70%] CP,RP,HF,NU || υποκριτα $\mathbf{f}^{351/3}$ $P^{45}$D [30%] TR
[9] δε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ουν $P^{45,75}$ℵB [5%] NU
[10] μεγα $\mathbf{f}^{35}$ $P^{45}$A,W (97.1%) CP,RP,HF,TR || μεγαν (2.1%) || --- $P^{75}$ℵB(D) (0.8%) NU
[11] παλιν $\mathbf{f}^{35}$ A [80%] CP,RP,HF || και παλιν $P^{45,75}$ℵB,D [20%] TR,NU
[12] εκρυψεν $\mathbf{f}^{35}$ B [60%] CP || ενεκρυψεν $P^{75}$ℵA,D [40%] RP,HF,TR[NU]
[13] ιερουσαλημ $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ιεροσολυμα $P^{75}$ℵ [5%] NU || εροσολυμα B
[14] πυλης $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || θυρας $P^{75}$ℵB [5%] NU
[15] κυριε $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[16] αρξεσθε $\mathbf{f}^{35}$ $P^{75}$B [60%] CP,RP,HF,TR,NU || αρξησθε ℵA,D [40%]
[17] λεγω $\mathbf{f}^{35}$ $P^{75}$A,D,W (94.7%) CP,RP,HF,TR || λεγων B (1.3%) NU || --- ℵ (1.3%) || omit 26-27[a] (2.7%)
[18] υμας $\mathbf{f}^{35}$ ℵA(D)W [98%] CP,RP,HF,TR[NU] || --- $P^{75}$B [2%]
[19] οι $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[20] της $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

28 "Ἐκει εσται ὁ κλαυθμος και ὁ βρυγμος των οδοντων, ὁταν οψεσθε[1] ῾Αβρααμ και
Ισαακ και Ιακωβ και παντας τους προφητας εν τη βασιλεια του Θεου, ὑμας δε εκβαλλομενους
εξω. 29 Και ἡξουσιν απο ανατολων και δυσμων και[2] βορρα και νοτου, και ανακλιθησονται
εν τη βασιλεια του Θεου. 30 Και ιδου, εισιν εσχατοι οἳ εσονται πρωτοι, και εισιν πρωτοι
οἳ εσονται εσχατοι."

*[A word for Herod]*

**31** Εν αυτη τη ἡμερα[3] προσηλθον[4] τινες Φαρισαιοι λεγοντες αυτω, "Εξελθε και
πορευου εντευθεν, ὁτι ῾Ηρωδης θελει σε αποκτειναι." 32 Και ειπεν αυτοις: "Πορευθεντες
ειπατε τη αλωπεκι ταυτη: Ιδου, εκβαλλω δαιμονια και ιασεις επιτελω[5] σημερον και αυριον,
και τη τριτη τελειουμαι. 33 Πλην δει με σημερον και αυριον και τη εχομενη πορευεσθαι,
ὁτι ουκ ενδεχεται προφητην απολεσθαι εξω ῾Ιερουσαλημ!"

*[Jesus laments over Jerusalem]*

**34** "῾Ιερουσαλημ, ῾Ιερουσαλημ, ἡ αποκτενουσα[6] τους προφητας και λιθοβολουσα τους
απεσταλμενους προς αυτην! Ποσακις ηθελησα επισυναξαι τα τεκνα σου ὃν τροπον ορνις[7] την
ἑαυτης νοσσιαν ὑπο τας πτερυγας, και ουκ ηθελησατε. 35 Ιδου, αφιεται ὑμιν ὁ οικος ὑμων
ερημος.[8] Λεγω δε[9] ὑμιν ὁτι[10] ου μη με ιδητε[11] ἑως αν ἡξει ὁτε[12] ειπητε, ῾Ευλογημενος ὁ
ερχομενος εν ονοματι Κυριου'."

*[Jesus heals a man with dropsy]*

**14.1** Και εγενετο εν τω ελθειν αυτον εις οικον τινος των αρχοντων των[13]
Φαρισαιων σαββατω φαγειν αρτον, και αυτοι ησαν παρατηρουμενοι αυτον. 2 Και ιδου,
ανθρωπος τις ἦν ὑδρωπικος εμπροσθεν αυτου. 3 Και αποκριθεις ὁ Ιησους ειπεν προς τους
νομικους και Φαρισαιους λεγων, "Ει[14] εξεστιν τω σαββατω θεραπευειν?"[15] 4 ῾Οι δε
ἡσυχασαν. Και επιλαβομενος ιασατο αυτον και απελυσεν. 5 Και αποκριθεις[16] προς αυτους
ειπεν, "Τίνος ὑμων υἱος[17] ἢ βους εις φρεαρ εμπεσειται,[18] και ουκ ευθεως ανασπασει αυτον
εν τη[19] ἡμερα του σαββατου?" 6 Και ουκ ισχυσαν ανταποκριθηναι αυτω[20] προς ταυτα.

*[A lesson about humility]*

**7** Ελεγεν δε προς τους κεκλημενους παραβολην, επεχων πως τας πρωτοκλισιας
εξελεγοντο, λεγων προς αυτους: 8 "῾Οταν κληθης ὑπο τινος εις γαμους, μη κατακλιθης εις
την πρωτοκλισιαν, μηποτε εντιμοτερος σου ᾖ κεκλημενος ὑπ' αυτου, 9 και ελθων ὁ σε και
αυτον καλεσας ερει, ῾Συ,[21] δος τουτω τοπον', και τοτε αρξη μετ'[22] αισχυνης τον εσχατον

---

[1] οψεσθε $\mathbf{f}^{35}$ B,D [25%] CP,UBS || οψησθε $P^{75}$A [74%] RP,HF,TR,N-A || ιδητε א [1%]
[2] και $\mathbf{f}^{35}$ אA,D [90%] CP,RP,HF || και απο B [10%] TR,NU || απο $P^{75}$
[3] ημερα $\mathbf{f}^{35}$ W [95%] CP,RP,HF,TR || ωρα $P^{75}$אA,B,D [5%] NU
[4] προσηλθον *rell* || προσηλθαν NU
[5] επιτελω $\mathbf{f}^{35}$ A,W [95%] CP,RP,HF,TR || αποτελω $P^{75}$אB [5%] UN || αποτελλουμαι D || ποιουμαι και $P^{45}$
[6] αποκτενουσα $\mathbf{f}^{35}$ [50%] RP,HF [αποκτεννουσα A,CP] || αποκτεινουσα $P^{45,75}$אB,D [50%] TR,NU
[7] ορνις *rell* || ορνις επισυναγει [ ] CP
[8] ερημος $\mathbf{f}^{35}$ D [60%] CP,RP,HF,TR || --- $P^{45v,75}$אA,B,W [40%] NU
[9] λεγω δε $\mathbf{f}^{35}$ $P^{75}$A,B [95%] CP,RP,HF[NU] || αμην δε λεγω [5%] TR || λεγω $P^{45v}$א
[10] οτι $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{45v,75}$אB [5%] NU
[11] με ιδητε $\mathbf{f}^{35}$ $P^{45,75}$ [95%] CP,RP,HF,TR || ~ 21 אA,B [5%] NU
[12] αν ηξει οτε $\mathbf{f}^{352/3}$ A,W [30%] || αν ηξη οτε $\mathbf{f}^{351/3}$ [63%] CP,RP,HF,TR || ηξει οτε (D) [1%] [NU] || αν $P^{45}$א [3%] || οτε [2%] || --- $P^{75}$B [1%]
[13] των $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR[NU] || --- $P^{45,75}$אB [5%]
[14] ει $\mathbf{f}^{35}$ $P^{45}$A [95%] CP,RP,HF,TR || --- $P^{75}$אB [5%] NU
[15] θεραπευειν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || θεραπευσαι $P^{45}$ || θεραπευσαι η ου $P^{75}$אB [5%] NU
[16] αποκριθεις $\mathbf{f}^{35}$ אA [95%] CP,RP,HF,TR || --- $P^{45,75}$B [5%] NU
[17] υιος $\mathbf{f}^{35}$ $P^{45,75}$B,W [70%] syr,sa,Diat,RP,HF,NU [ο υιος A] || ονος א [30%] lat,bo,CP,TR
[18] εμπεσειται $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || πεσειται $P^{45,75}$(אA)B [5%] NU
[19] τη $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{45,75}$אB [5%] NU
[20] αυτω $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{45,75}$אB [5%] NU
[21] συ $\mathbf{f}^{35}$ [20%] || σοι $P^{45,75}$אA,B [80%] CP,RP,HF,TR,NU
[22] μετ $\mathbf{f}^{35}$ $P^{45}$ [70%] CP,RP,HF,TR || μετα $P^{75}$אA,B,D [30%] NU

τοπον κατεχειν. 10 Αλλ’ ὅταν κληθης, πορευθεις αναπεσε[1] εις τον εσχατον τοπον, ἵνα ὅταν
ελθη ὁ κεκληκως σε, ειπη[2] σοι, ‘Φιλε, προσαναβηθι ανωτερον’. Τοτε εσται σοι δοξα
ενωπιον[3] των συνανακειμενων σοι. 11 Ὅτι πας ὁ ὑψων ἑαυτον ταπεινωθησεται, και ὁ
ταπεινων ἑαυτον ὑψωθησεται.”

**12** Ελεγεν δε και τω κεκληκοτι αυτον: “Ὅταν ποιης αριστον ἢ δειπνον, μη φωνει
τους φιλους σου, μηδε τους αδελφους σου, μηδε τους συγγενεις σου, μηδε γειτονας
πλουσιους, μηποτε και αυτοι σε αντικαλεσωσιν,[4] και γενηται σοι ανταποδομα.[5] 13 Αλλ’
ὅταν ποιης δοχην,[6] καλει πτωχους, αναπηρους,[7] χωλους, τυφλους, 14 και μακαριος εση, ὅτι
ουκ εχουσιν ανταποδουναι σοι· ανταποδοθησεται γαρ σοι εν τη αναστασει των δικαιων.”

*[An unusual banquet]*

**15** Ακουσας δε τις των συνανακειμενων ταυτα ειπεν αυτω, “Μακαριος ὃς[8] φαγεται
αριστον[9] εν τη βασιλεια του Θεου!” 16 Ὁ δε ειπεν αυτω: “Ανθρωπος τις εποιησεν[10] δειπνον
μεγα, και εκαλεσεν πολλους· 17 και απεστειλεν τον δουλον αυτου τη ὡρα του δειπνου
ειπειν τοις κεκλημενοις, ‘Ερχεσθε, ὅτι ηδη ἑτοιμα εστιν παντα.’[11] 18 Και ηρξαντο απο μιας
παραιτεισθαι παντες.[12] Ὁ πρωτος ειπεν αυτω: ‘Αγρον ηγορασα, και εχω αναγκην εξελθειν
και[13] ιδειν αυτον. Ερωτω σε, εχε με παρητημενον.’ 19 Και ἑτερος ειπεν: ‘Ζευγη βοων
ηγορασα πεντε, και πορευομαι δοκιμασαι αυτα. Ερωτω σε, εχε με παρητημενον.’ 20 Και
ἑτερος ειπεν, ‘Γυναικα εγημα, και δια τουτο ου δυναμαι ελθειν.’ 21 Και παραγενομενος ὁ
δουλος εκεινος[14] απηγγειλεν τω κυριω αυτου ταυτα. Τοτε οργισθεις ὁ οικοδεσποτης ειπεν
τω δουλω αυτου, ‘Εξελθε ταχεως εις τας πλατειας και ῥυμας της πολεως, και τους πτωχους
και αναπηρους[15] και τυφλους και χωλους[16] εισαγαγε ὡδε.’ 22 Και ειπεν ὁ δουλος, ‘Κυριε,
γεγονεν ὡς[17] επεταξας, και ετι τοπος εστιν.’ 23 Και ειπεν ὁ κυριος προς τον δουλον:
‘Εξελθε εις τας ὁδους και φραγμους και αναγκασον εισελθειν, ἵνα γεμισθη ὁ οικος μου.[18]
24 Λεγω γαρ ὑμιν ὅτι ουδεις των ανδρων εκεινων των κεκλημενων γευσεται μου του
δειπνου’.”[19]

*[Jesus defines discipleship]*

**25** Συνεπορευοντο δε αυτω οχλοι πολλοι, και στραφεις ειπεν προς αυτους: 26 “Ει
τις ερχεται προς με και ου μισει τον πατερα αυτου[20] και την μητερα, και την γυναικα και
τα τεκνα, και τους αδελφους και τας αδελφας, ετι δε[21] και την ἑαυτου ψυχην,[22] ου δυναται

---

[1] αναπεσε $\mathbf{f}^{35}$ P$^{45,75}$ℵA,B [75%] CP,RP,HF,NU || αναπεσον [20%] TR || αναπεσαι [5%]
[2] ειπη $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ερει P$^{75}$ℵB [5%] NU
[3] ενωπιον $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || ενωπιον παντων P$^{75}$ℵA,B [5%] NU
[4] σε αντικαλεσωσιν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 P$^{75}$ℵB [5%] NU
[5] σοι ανταποδομα $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 P$^{75}$ℵB [5%] NU
[6] ποιης δοχην $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 B [2%] NU || δοχην ποιησης P$^{75}$ℵ [3%]
[7] αναπηρους $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || αναπειρους P$^{75}$A,B [4%] NU || αναπιρους ℵ [1%]
[8] ος $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || οστις P$^{75}$B [5%] NU || omit whole line ℵ
[9] αριστον $\mathbf{f}^{35}$ A [70%] CP,RP,HF || αρτον P$^{75}$B [30%] TR,NU || omit whole line ℵ
[10] εποιησεν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || εποιει P$^{75}$ℵB [5%] NU
[11] παντα $\mathbf{f}^{35}$ A,D (99.5%) CP,RP,HF,TR || --- P$^{75}$ℵB (0.5%) NU
[12] παραιτεισθαι παντες $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 P$^{75}$(ℵ)B [5%] NU
[13] εξελθειν και $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || εξελθων P$^{75}$ℵB [5%] NU
[14] εκεινος $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || --- P$^{45,75}$ℵA,B [5%] NU
[15] αναπηρους $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || αναπειρους P$^{75}$ℵA,B [5%] NU
[16] τυφλους και χωλους $\mathbf{f}^{35}$ P$^{45,75}$ℵB,D [50%] CP,NU || ~ 321 [49%] RP,HF,TR || 1 A [1%]
[17] ως $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ο P$^{45v,75}$ℵB [5%] NU
[18] ο οικος μου $\mathbf{f}^{35}$ P$^{45}$ [95%] CP,RP,HF,TR || ~ 312 P$^{75}$ℵA,B [5%] NU
[19] δειπνου $\mathbf{f}^{352/3}$ P$^{45,75}$ℵA,B [70%] CP,RP,HF,TR,NU || δειπνου πολλοι γαρ εισιν κλητοι ολιγοι δε εκλεκτοι $\mathbf{f}^{351/3}$ [30%]
[20] αυτου $\mathbf{f}^{35}$ P$^{45}$ℵA,D [95%] CP,RP,HF || εαυτου P$^{75v}$B [5%] TR,NU
[21] δε $\mathbf{f}^{35}$ P$^{45}$ℵA [98%] CP,RP,HF || τε B [2%] NU || --- P$^{75}$
[22] εαυτου ψυχην $\mathbf{f}^{35}$ P$^{45}$A [97%] CP,RP,HF,TR || ~ 21 P$^{75}$ℵB [3%] NU

μου ειναι μαθητης.[1] 27 Και[2] ὁστις ου βασταζει τον σταυρον αυτου[3] και ερχεται οπισω μου
ου δυναται ειναι μου[4] μαθητης.

28 "Τίς γαρ εξ ὑμων ὁ θελων[5] πυργον οικοδομησαι, ουχι πρωτον καθισας ψηφιζει
την δαπανην, ει εχει τα[6] προς[7] απαρτισμον? 29 Ἱνα μηποτε θεντος αυτου θεμελιον και μη
ισχυοντος εκτελεσαι, παντες οἱ θεωρουντες αρξωνται εμπαιζειν αυτω,[8] 30 λεγοντες ὁτι
'Οὑτος ὁ ανθρωπος ηρξατο οικοδομειν και ουκ ισχυσεν εκτελεσαι.'

31 "Ἢ τίς βασιλευς πορευομενος συμβαλειν ἑτερω βασιλει[9] εις πολεμον ουχι
καθισας πρωτον βουλευεται[10] ει δυνατος εστιν εν δεκα χιλιασιν απαντησαι[11] τω μετα εικοσι
χιλιαδων ερχομενω επ αυτον? 32 Ει δε μη γε, ετι πορρω αυτου[12] οντος, πρεσβειαν
αποστειλας ερωτα τα προς ειρηνην. 33 Οὑτως ουν πας εξ ὑμων ὃς ουκ αποτασσεται πασιν
τοις ἑαυτου ὑπαρχουσιν, ου δυναται μου ειναι[13] μαθητης.

34 "Καλον[14] το ἁλας· εαν δε[15] το ἁλας μωρανθη, εν τίνι αρτυθησεται? 35 Ουτε εις
γην ουτε εις κοπριαν ευθετον εστιν· εξω βαλλουσιν αυτο. Ὁ εχων ωτα ακουειν ακουετω!"

*[Parable of a lost sheep]*

**15**.1 Ησαν δε εγγιζοντες αυτω[16] παντες οἱ τελωναι και οἱ ἁμαρτωλοι ακουειν
αυτου. 2 Και διεγογγυζον οἱ[17] Φαρισαιοι και οἱ γραμματεις λεγοντες ὁτι "Οὑτος
ἁμαρτωλους προσδεχεται και συνεσθιει αυτοις." 3 Ειπεν δε προς αυτους την παραβολην
ταυτην λεγων: 4 "Τίς ανθρωπος εξ ὑμων εχων ἑκατον προβατα και απολεσας ἑν εξ αυτων,[18]
ου καταλειπει τα ενενηκοντα εννεα εν τη ερημω και πορευεται επι το απολωλος ἑως[19] εὑρη
αυτο? 5 Και εὑρων επιτιθησιν επι τους ωμους αυτου[20] χαιρων. 6 Και ελθων εις τον οικον
συγκαλει τους φιλους και τους γειτονας, λεγων αυτοις, 'Συγχαρητε μοι, ὁτι εὑρον το
προβατον μου το απολωλος.' 7 Λεγω ὑμιν ὁτι οὑτως χαρα εσται εν τω ουρανω[21] επι ἑνι
ἁμαρτωλω μετανοουντι ἢ επι ενενηκοντα εννεα δικαιοις οἱτινες ου χρειαν εχουσιν
μετανοιας.

*[Parable of a lost coin]*

**8** "Ἢ τίς γυνη δραχμας εχουσα δεκα, εαν απολεση δραχμην μιαν ουχι ἁπτει λυχνον
και σαροι την οικιαν και ζητει επιμελως ἑως ὁτου[22] εὑρη? 9 Και εὑρουσα συγκαλειται[23]
τας φιλας και τας[24] γειτονας λεγουσα, 'Συγχαρητε μοι, ὁτι εὑρον την δραχμην ἣν απωλεσα.'

---

[1] μου ειναι μαθητης **f**$^{35}$ $P^{45,75}$ [40%] CP || ~ 132 A,D,W [58%] RP,HF,TR || ~ 213 אB [2%] NU
[2] και **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{45,75}$אB [5%] NU
[3] αυτου **f**$^{35}$ $P^{45,75}$א [98%] CP,RP,HF,TR || εαυτου A,B [2%] NU
[4] ειναι μου **f**$^{35}$ $P^{75}$אB [60%] CP,RP,HF,NU || ~ 21 $P^{45}$A,D [40%] TR
[5] ο θελων **f**$^{35\,2/3}$ $P^{45}$ [50%] CP,RP,HF || θελων **f**$^{35\,1/3}$ אA,B [50%] TR,NU || θελει $P^{75}$
[6] τα **f**$^{35}$ אA [97%] CP,RP,HF,TR || --- $P^{75}$B [3%] NU
[7] προς **f**$^{35}$ [40%] CP,TR || εις $P^{45,75}$אA,B,D [60%] RP,HF,NU
[8] εμπαιζειν αυτω **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$(א)A,B [5%] NU || 1 $P^{45v}$
[9] συμβαλειν ετερω βασιλει **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 231 $P^{75}$אA,B [5%] NU
[10] βουλευεται **f**$^{35}$ A [95%] CP,RP,HF,TR || βουλευσεται $P^{75}$אB [5%] NU
[11] απαντησαι **f**$^{35}$ [95%] CP,RP,HF,TR || υπαντησαι $P^{45,75}$אA,B [5%] NU
[12] πορρω αυτου **f**$^{35}$ A [80%] CP,RP,HF || ~ 21 $P^{75}$אB,D [20%] TR,NU
[13] μου ειναι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$אB [5%] NU
[14] καλον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || καλον ουν $P^{75}$אB [5%] NU
[15] δε **f**$^{35}$ $P^{75}$A [95%] CP,RP,HF,TR || δε και אB [5%] NU
[16] εγγιζοντες αυτω **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$אA,B [5%] NU
[17] οι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || οι τε $P^{75}$אB [5%] NU
[18] εν εξ αυτων **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 231 $P^{75}$אB [5%] NU
[19] εως **f**$^{35}$ $P^{75}$B [70%] CP,RP,HF,TR,NU || εως ου אA [30%]
[20] αυτου **f**$^{35}$ $P^{75}$אB,D [45%] NU || εαυτου A [55%] CP,RP,HF,TR
[21] εσται εν τω ουρανω **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 2341 $P^{75}$(א)B [5%] NU
[22] οτου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ου $P^{75}$אB [5%] NU
[23] συγκαλειται **f**$^{35}$ (A) [95%] CP,RP,HF,TR || συγκαλει $P^{75}$(א)B [5%] NU
[24] τας **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$אB [5%] NU

10 Οὕτως, λεγω ὑμιν, χαρα γινεται[1] ενωπιον των αγγελων του Θεου επι ἑνι ἁμαρτωλω μετανοουντι.”

*[Parable of a lost son]*

**11** Ειπεν δε: “Ἀνθρωπος τις ειχεν δυο υἱους. 12 Και ειπεν ὁ νεωτερος αυτων τω πατρι, ‘Πατερ, δος μοι το επιβαλλον μερος της ουσιας.’ Και[2] διειλεν αυτοις τον βιον. 13 Και μετ’ ου πολλας ἡμερας συναγαγων ἁπαντα[3] ὁ νεωτερος υἱος απεδημησεν εις χωραν μακραν, και εκει διεσκορπισεν την ουσιαν αυτου ζων ασωτως. 14 Δαπανησαντος δε αυτου παντα εγενετο λιμος ισχυρος[4] κατα την χωραν εκεινην, και αυτος ηρξατο ὑστερεισθαι. 15 Και πορευθεις εκολληθη ἑνι των πολιτων της χωρας εκεινης, και επεμψεν αυτον εις τους αγρους αυτου βοσκειν χοιρους· 16 και επεθυμει γεμισαι την κοιλιαν αυτου απο[5] των κερατιων ὧν ησθιον οἱ χοιροι, και ουδεις εδιδου αυτω. 17 Εις ἑαυτον δε ελθων ειπεν:[6] ‘Ποσοι μισθιοι του πατρος μου περισσευουσιν[7] αρτων, εγω δε λιμω[8] απολλυμαι! 18 Αναστας πορευσομαι προς τον πατερα μου και ερω αυτω: Πατερ, ἡμαρτον εις τον ουρανον και ενωπιον σου, 19 και[9] ουκετι ειμι αξιος κληθηναι υἱος σου. Ποιησον με ὡς ἑνα των μισθιων σου.’ 20 Και αναστας ηλθεν προς τον πατερα ἑαυτου.[10] Ετι δε αυτου μακραν απεχοντος ειδεν αυτον ὁ πατηρ αυτου και εσπλαγχνισθη και δραμων επεπεσεν επι τον τραχηλον αυτου και κατεφιλησεν αυτον. 21 Ειπεν δε αυτω ὁ υἱος,[11] ‘Πατερ, ἡμαρτον εις τον ουρανον και ενωπιον σου, και[12] ουκετι ειμι αξιος κληθηναι υἱος σου.’[13] 22 Ειπεν δε ὁ πατηρ προς τους δουλους αυτου:[14] ‘Ἐξενεγκατε την[15] στολην την πρωτην και ενδυσατε αυτον, και δοτε δακτυλιον εις την χειρα αυτου και ὑποδηματα εις τους ποδας. 23 Και ενεγκαντες[16] τον μοσχον τον σιτευτον θυσατε, και φαγοντες ευφρανθωμεν, 24 ὁτι οὗτος ὁ υἱος μου νεκρος ἦν και ανεζησεν, και[17] απολωλος ἦν[18] και εὑρεθη.’ Και ηρξαντο ευφραινεσθαι.

25 “Ἦν δε ὁ υἱος αυτου ὁ πρεσβυτερος εν αγρω· και ὡς ερχομενος ηγγισεν τη οικια ηκουσεν συμφωνιας και χορων, 26 και προσκαλεσαμενος ἑνα των παιδων,[19] επυνθανετο τί[20] ειη ταυτα. 27 Ὁ δε ειπεν αυτω ὁτι ‘Ὁ αδελφος σου ἡκει, και εθυσεν ὁ πατηρ σου τον μοσχον τον σιτευτον, ὁτι ὑγιαινοντα αυτον απελαβεν.’ 28 Ὠργισθη δε και ουκ ηθελεν εισελθειν. Ὁ ουν[21] πατηρ αυτου εξελθων παρεκαλει αυτον. 29 Ὁ δε αποκριθεις ειπεν τω

---

[1] χαρα γινεται **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~21 P$^{75}$ℵB [5%] NU

[2] και **f**$^{35}$ ℵ [95%] CP,RP,HF,TR || ο δε A,B [5%] NU || --- P$^{75}$

[3] απαντα **f**$^{35}$ ℵA [98%] CP,RP,HF,TR || παντα P$^{75}$B [2%] NU

[4] ισχυρος **f**$^{35}$ [95%] CP,RP,HF,TR || ισχυρα P$^{75}$ℵA,B [5%] NU

[5] γεμισαι την κοιλιαν αυτου απο **f**$^{35}$ A (97.3%) lat,syr,bo,Diat,CP,RP,HF,TR || χορτασθηναι εκ P$^{75}$ℵB,D (2.7%) sy$^{pal}$,sa,NU (W conflates.)

[6] ειπεν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εφη P$^{75}$ℵB [5%] NU

[7] περισσευουσιν **f**$^{35}$ ℵ [95%] CP,RP,HF,TR || περισσευονται P$^{75}$A,B [5%] NU

[8] λιμω **f**$^{35}$ A [95%] CP,RP,HF,TR || λιμω ωδε P$^{75}$ℵB [5%] NU

[9] και **f**$^{35}$ [60%] CP,RP,HF,TR || --- P$^{75}$ℵA,B,D [40%] NU

[10] εαυτου **f**$^{352/3}$ P$^{75}$A,B [40%] TR,NU || αυτου **f**$^{351/3}$ ℵD [60%] CP,RP,HF

[11] αυτω ο υιος **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || ~231 P$^{75}$B [3%] NU

[12] και **f**$^{35}$ [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵA,B [5%] NU

[13] σου **f**$^{35}$ P$^{75}$A,W (87.6%) lat,syr,cop,Diat,CP,RP,HF,TR,NU || σου ποιησον με ως ενα των μισθιων σου ℵB,D (12.4%) sy$^{h}$

[14] αυτου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || αυτου ταχυ P$^{75}$ℵB [5%] NU

[15] την **f**$^{35}$ P$^{75}$ [95%] CP,RP,HF,TR || --- ℵA,B [5%] NU

[16] ενεγκαντες **f**$^{35}$ A [95%] CP,RP,HF,TR || φερετε P$^{75}$ℵB [5%] NU

[17] και **f**$^{35}$ [70%] CP,RP,HF,TR || --- P$^{75}$ℵA,B,D [30%] NU

[18] απολωλος ην **f**$^{351/2}$ [60%] [~21 ℵ] || απολωλως ην **f**$^{351/2}$ [35%] CP,RP,HF,TR || ~2 απολωλως A,B [3%] NU || απολωλως D [2%] || ~2 απολολως P$^{75}$ (The variant chosen by the eclectic text is a periphrastic construction, destroying the parallellism in the account. Though evidently a neuter participle in form, I suppose that απολωλος is functioning as an adjective, precisely parallel to νεκρος.)

[19] παιδων *rell* || παιδων αυτου [2%] TR

[20] τι **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || τι αν P$^{75v}$B [3%] NU

[21] ουν **f**$^{35}$ [95%] CP,RP,HF,TR || δε P$^{75}$ℵA,B [5%] NU

πατρι:[1] ῾Ιδου, τοσαυτα ετη δουλευω σοι και ουδεποτε εντολην σου παρηλθον, και εμοι
ουδεποτε εδωκας εριφον ἱνα μετα των φιλων μου ευφρανθω. 30 ῞Οτε δε ὁ υἱος σου
οὑτος ὁ καταφαγων σου τον βιον μετα πορνων ηλθεν, εθυσας αυτω τον μοσχον τον
σιτευτον.'[2] 31 ῾Ο δε ειπεν αυτω: 'Τεκνον, συ παντοτε μετ' εμου εἶ, και παντα τα εμα σα
εστιν. 32 Ευφρανθηναι δε και χαρηναι εδει, ὁτι ὁ αδελφος σου οὑτος νεκρος ἦν και
ανεζησεν[3] και απολωλος[4] ἦν[5] και εὑρεθη.'"

*[Parable of a stupid steward]*

**16.1** Ελεγεν δε και προς τους μαθητας αυτου:[6] "Ανθρωπος τις ἦν πλουσιος ὃς ειχεν
οικονομον, και οὑτος διεβληθη αυτω ὡς διασκορπιζων τα ὑπαρχοντα αυτου. 2 Και φωνησας
αυτον ειπεν αυτω: 'Τί τουτο ακουω περι σου? Αποδος τον λογον της οικονομιας σου, ου
γαρ δυνηση ετι[7] οικονομειν.' 3 Ειπεν δε εν ἑαυτω ὁ οικονομος: 'Τί ποιησω, ὁτι ὁ κυριος
μου αφαιρειται την οικονομιαν απ' εμου? Σκαπτειν ουκ ισχυω, επαιτειν αισχυνομαι.
4 Εγνων τί ποιησω, ἱνα ὁταν μετασταθω[8] της οικονομιας, δεξωνται με εις τους οικους
αυτων.' 5 Και προσκαλεσαμενος ἑνα ἑκαστον των χρεωφειλετων[9] του κυριου ἑαυτου[10] ελεγεν
τω πρωτω, 'Ποσον οφειλεις τω κυριω μου?' 6 ῾Ο δε ειπεν, 'Εκατον βατους ελαιου.' Και[11]
ειπεν αυτω, 'Δεξαι σου το γραμμα[12] και καθισας ταχεως γραψον πεντηκοντα.' 7 Επειτα
ἑτερω ειπεν, 'Συ δε ποσον οφειλεις?' ῾Ο δε ειπεν, 'Εκατον κορους σιτου.' Και λεγει[13] αυτω,
'Δεξαι σου το γραμμα[14] και γραψον ογδοηκοντα.' 8 Και επηνεσεν ὁ κυριος τον οικονομον
της αδικιας ὁτι φρονιμως εποιησεν. ῞Οτι οἱ υἱοι του αιωνος τουτου φρονιμωτεροι ὑπερ
τους υἱους του φωτος εις την γενεαν την ἑαυτων εισιν.

[A bit of irony]

9 "Καγω[15] ὑμιν λεγω, ποιησατε ἑαυτοις[16] φιλους εκ του μαμωνα της αδικιας, ἱνα
ὁταν εκλειπητε[17] δεξωνται ὑμας εις τας αιωνιους σκηνας. 10 ῾Ο πιστος εν ελαχιστω και εν
πολλω πιστος εστιν, και ὁ εν ελαχιστω αδικος και εν πολλω αδικος εστιν. 11 Ει ουν εν τω
αδικω μαμωνα πιστοι ουκ εγενεσθε, το αληθινον τίς ὑμιν πιστευσει? 12 Και ει εν τω
αλλοτριω πιστοι ουκ εγενεσθε, το ὑμετερον τίς ὑμιν δωσει? 13 Ουδεις οικετης δυναται δυσι
κυριοις δουλευειν· ἡ γαρ τον ἑνα μισησει και τον ἑτερον αγαπησει, ἡ ἑνος ανθεξεται και
του ἑτερου καταφρονησει. Ου δυνασθε Θεω δουλευειν και μαμωνα."

*[The Law will not fail]*

**14** Ηκουον δε ταυτα παντα και[18] οἱ Φαρισαιοι φιλαργυροι ὑπαρχοντες, και
εξεμυκτηριζον αυτον. 15 Και ειπεν αυτοις: "῾Υμεις εστε οἱ δικαιουντες ἑαυτους ενωπιον
των ανθρωπων, ὁ δε Θεος γινωσκει τας καρδιας ὑμων. ῞Οτι το εν ανθρωποις ὑψηλον

---

[1] πατρι **f35** ℵ [95%] CP,RP,HF,TR || πατρι αυτου P75A,B [5%] NU
[2] μοσχον τον σιτευτον **f35** A [95%] CP,RP,HF,TR || ~ 31 P75ℵB [5%] NU
[3] ανεζησεν **f35** A [95%] CP,RP,HF,TR || εζησεν P75ℵB [5%] NU
[4] απολωλος **f351/4** [50%] || απολωλως **f35** P75ℵA,B,D,W [50%] CP,RP,HF,TR,NU
[5] ην **f35** ℵ [95%] CP,RP,HF,TR || --- P75A,B [5%] NU
[6] αυτου **f35** A [95%] CP,RP,HF,TR || --- P75ℵB [5%] NU
[7] δυνηση ετι **f35** A [95%] CP,RP,HF,TR || δυνη ετι P75B [5%] NU || ετι δυνη ℵ
[8] μετασταθω **f35** A [95%] RP,HF,TR [μεταστω CP] || μετασταθω εκ P75ℵB [5%] NU
[9] χρεωφειλετων **f35** [70%] CP,RP,HF,TR || χρεοφειλετων P75ℵA,B [30%] NU
[10] εαυτου **f35** P75A,B [60%] CP,RP,HF,TR,NU || αυτου ℵD [40%]
[11] και **f35** [95%] CP,RP,HF,TR || ο δε P75ℵA,B [5%] NU
[12] το γραμμα **f35** A [95%] CP,RP,HF,TR || τα γραμματα P75ℵB [5%] NU
[13] και λεγει **f35** A [95%] CP,RP,HF,TR || λεγει P75B [5%] NU || λεγει δε ℵ
[14] το γραμμα **f35** A [95%] CP,RP,HF,TR || τα γραμματα P75ℵB [5%] NU
[15] καγω **f35** A [95%] CP,RP,HF,TR || και εγω P75ℵB [5%] NU
[16] ποιησατε εαυτοις **f35** (A) [95%] CP,RP,HF,TR || ~ 21 P75ℵB [5%] NU
[17] εκλειπητε **f35** [55%] CP,RP,HF || εκλιπητε [40%] TR || εκλιπη P75ℵB,D [3%] NU || εκλειπη A [2%]
[18] ταυτα παντα και **f35** A,W (82.8%) CP,RP,HF,TR || ~ 213 (3%) || 12 P75ℵB (3.2%) NU || 13 (6.2%) || 23 (1.7%) || ~ 21 (0.4%) || 1 D (0.5%) || 2 (0.2%) || ταυτα παντες και (0.4%) || παντες και (0.5%) || παντες (1.3%)

βδελυγμα ενωπιον του Θεου.[1] 16 Ὁ νομος και οἱ προφηται ἑως[2] Ιωαννου· απο τοτε ἡ βασιλεια του Θεου ευαγγελιζεται και πας εις αυτην βιαζεται. 17 Ευκοπωτερον δε εστιν τον ουρανον και την γην παρελθειν ἢ του νομου μιαν κεραιαν πεσειν.

18 "Πας ὁ απολυων την γυναικα αυτου και γαμων ἑτεραν μοιχευει, και πας ὁ[3] απολελυμενην απο ανδρος γαμων μοιχευει.

*[A rich man and beggar Lazarus]*

**19** "Ανθρωπος δε τις ἦν πλουσιος, και ενεδιδυσκετο πορφυραν και βυσσον, ευφραινομενος καθ' ἡμεραν λαμπρως. 20 Πτωχος δε τις ἦν[4] ονοματι Λαζαρος, ὃς[5] εβεβλητο προς τον πυλωνα αυτου ἡλκωμενος[6] 21 και επιθυμων χορτασθηναι απο των ψιχιων των πιπτοντων[7] απο της τραπεζης του πλουσιου. Αλλα και οἱ κυνες ερχομενοι απελειχον[8] τα ἑλκη αυτου. 22 Εγενετο δε αποθανειν τον πτωχον και απενεχθηναι αυτον ὑπο των αγγελων εις τον κολπον του[9] Ἁβρααμ. Απεθανεν δε και ὁ πλουσιος και εταφη.

23 "Και εν τω Ἁδη επαρας τους οφθαλμους αυτου, ὑπαρχων εν βασανοις, ὁρα τον[10] Ἁβρααμ απο μακροθεν, και Λαζαρον εν τοις κολποις αυτου. 24 Και αυτος φωνησας ειπεν, 'Πατερ Ἁβρααμ, ελεησον με και πεμψον Λαζαρον ἱνα βαψῃ το ακρον του δακτυλου αυτου ὑδατος και καταψυξῃ την γλωσσαν μου· ὁτι οδυνωμαι εν τῃ φλογι ταυτῃ.' 25 Ειπεν δε Ἁβρααμ: 'Τεκνον, μνησθητι ὁτι απελαβες συ τα αγαθα σου[11] εν τῃ ζωῃ σου, και Λαζαρος ὁμοιως τα κακα· νυν δε ὁδε[12] παρακαλειται, συ δε οδυνασαι. 26 Και επι[13] πασι τουτοις μεταξυ ἡμων και ὑμων χασμα μεγα εστηρικται, ὁπως οἱ θελοντες διαβηναι ενθεν[14] προς ὑμας μη δυνωνται, μηδε οἱ[15] εκειθεν προς ἡμας διαπερωσιν.' 27 Ειπεν δε, 'Ερωτω ουν σε,[16] πατερ, ἱνα πεμψῃς αυτον εις τον οικον του πατρος μου, 28 εχω γαρ πεντε αδελφους, ὁπως διαμαρτυρηται αυτοις, ἱνα μη και αυτοι ελθωσιν εις τον τοπον τουτον της βασανου.' 29 Λεγει[17] αυτω[18] Ἁβρααμ, 'Εχουσι Μωσεα[19] και τους προφητας· ακουσατωσαν αυτων.' 30 Ὁ δε ειπεν, 'Ουχι, πατερ Ἁβρααμ, αλλ' εαν τις απο νεκρων πορευθῃ προς αυτους, μετανοησουσιν.' 31 Ειπεν δε αυτω, 'Ει Μωσεως[20] και των προφητων ουκ ακουουσιν, ουδε[21] εαν τις εκ νεκρων αναστῃ πεισθησονται'."

*[Don't offend, forgive]*

**17.1** Ειπεν δε προς τους μαθητας:[22] "Ανενδεκτον εστιν του μη ελθειν τα σκανδαλα,[23] ουαι δε[1] δι' οὗ ερχεται! 2 Λυσιτελει αυτω ει μυλος ονικος[2] περικειται περι τον τραχηλον

---

[1] του θεου **f**$^{35}$ $P^{75}$ℵA,D [65%] RP,HF,NU || του θεου εστιν [35%] TR || του θεου ην CP || κυριου B
[2] εως **f**$^{35}$ A [95%] CP,RP,HF,TR || μεχρι $P^{75}$ℵB [5%] NU
[3] πας ο **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || ο B [3%] NU || --- $P^{75}$
[4] ην **f**$^{35}$ A,W (95.3%) CP,RP,HF,TR || --- $P^{75}$ℵB,D (4.7%) NU
[5] ος **f**$^{35}$ A,W (98.6%) CP,RP,HF,TR || --- $P^{75}$ℵB,D (1.4%) NU (Note that in the space of four words in the Text the same four early uncials are 'followed' by a rather different array of other attestatiion; we have independent lines of transmission.)
[6] ηλκωμενος **f**$^{35}$ [95%] CP,RP,HF,TR || ειλκωμενος $P^{75}$ℵA,B [5%] NU
[7] των ψιχιων των πιπτοντων **f**$^{35}$ A(D)W (98.7%) CP,RP,HF,TR || ~3412 (0.4%) || 34 $P^{75}$ℵB (0.3%) NU || 12 (0.1%) || --- (0.4%)
[8] απελειχον **f**$^{35}$ [95%] CP,RP,HF,TR || επελειχον ℵA,B [5%] NU
[9] του **f**$^{35}$ [25%] CP,TR || --- $P^{75v}$ℵA,B,D [75%] RP,HF,NU
[10] τον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[11] συ τα αγαθα σου **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~2341 A [1%] || 234 $P^{75}$ℵB [4%] NU
[12] οδε **f**$^{35}$ [25%] CP,TR || ωδε $P^{75}$ℵA,B,D [75%] RP,HF,NU
[13] επι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εν $P^{75}$ℵB [5%] NU
[14] ενθεν **f**$^{35}$ $P^{75}$ℵA,B [80%] CP,RP,HF,NU || εντευθεν [20%] TR || --- D,W
[15] οι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[16] ουν σε **f**$^{35}$ $P^{75}$ℵ [97%] CP,RP,HF,TR || ~21 A,B [3%] NU
[17] λ᾽εγει **f**$^{35}$ [55%] CP,RP,HF,TR || λεγει δε $P^{75}$ℵA,B(D) [45%] NU
[18] αυτω **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[19] μωσεα *rell* || μωυσεα NU
[20] μωσεως *rell* || μωυσεως NU
[21] ουδε *rell* || ουδ NU
[22] μαθητας **f**$^{35}$ [95%] CP,RP,HF,TR || μαθητας αυτου $P^{75}$ℵA,B [5%] NU
[23] μη ελθειν τα σκανδαλα **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~3412 $P^{75}$ℵB [5%] NU

αυτου και ερριπται εις την θαλασσαν, ἡ ἱνα σκανδαλιση ἑνα των μικρων τουτων.[3]
3 Προσεχετε ἑαυτοις. Εαν δε[4] ἁμαρτη εις σε[5] ὁ αδελφος σου επιτιμησον αυτω· και εαν
μετανοηση, αφες αυτω. 4 Και εαν ἑπτακις της ἡμερας ἁμαρτη[6] εις σε και ἑπτακις της
ἡμερας[7] επιστρεψη[8] λεγων, 'Μετανοω', αφησεις αυτω."

*[Faith like a mustard seed has]*

**5** Και ειπον[9] οἱ αποστολοι τω κυριω, "Προσθες ἡμιν πιστιν." 6 Ειπεν δε ὁ Κυριος:
"Ει ειχετε[10] πιστιν ὡς κοκκον σιναπεως, ελεγετε αν τη συκαμινω ταυτη,[11] 'Εκριζωθητι και
φυτευθητι εν τη θαλασση', και ὑπηκουσεν αν ὑμιν.

*[The thanks that a slave gets]*

**7** "Τίς δε εξ ὑμων δουλον εχων αροτριωντα ἡ ποιμαινοντα, ὃς εισελθοντι εκ του
αγρου, ερει[12] ευθεως, 'Παρελθων αναπεσε'?[13] 8 Αλλ' ουχι ερει αυτω, "Ετοιμασον τί
δειπνησω, και περιζωσαμενος διακονει μοι ἑως φαγω και πιω, και μετα ταυτα φαγεσαι και
πιεσαι συ'? 9 Μη χαριν εχει[14] τω δουλω εκεινω[15] ὁτι εποιησεν τα διαταχθεντα? Ου δοκω.[16]
10 Οὑτως και ὑμεις, ὁταν ποιησητε παντα τα διαταχθεντα ὑμιν, λεγετε ὁτι 'Δουλοι αχρειοι
εσμεν, ὁτι[17] ὃ ωφειλομεν[18] ποιησαι πεποιηκαμεν'."

*[Jesus cleanses ten lepers]*

**11** Και εγενετο εν τω πορευεσθαι αυτον[19] εις Ἱερουσαλημ και αυτος διηρχετο δια
μεσου[20] Σαμαρειας και Γαλιλαιας. 12 Και εισερχομενου αυτου εις τινα κωμην απηντησαν
αυτω[21] δεκα λεπροι ανδρες, οἳ εστησαν πορρωθεν. 13 Και αυτοι ηραν φωνην λεγοντες,
"Ιησου, επιστατα, ελεησον ἡμας!" 14 Και ιδων ειπεν αυτοις, "Πορευθεντες επιδειξατε
ἑαυτους τοις ἱερευσιν." Και εγενετο εν τω ὑπαγειν αυτους εκαθαρισθησαν. 15 Εἱς δε εξ
αυτων, ιδων ὁτι ιαθη, ὑπεστρεψεν μετα φωνης μεγαλης δοξαζων τον θεον· 16 και επεσεν
επι προσωπον παρα τους ποδας αυτου ευχαριστων αυτω· και αυτος ἠν Σαμαρειτης.[22]
17 Αποκριθεις δε ὁ Ιησους ειπεν: "Ουχι οἱ δεκα εκαθαρισθησαν? Οἱ δε εννεα[23] που? 18 Ουχ
εὑρεθησαν ὑποστρεψαντες δουναι δοξαν τω Θεω ει μη ὁ αλλογενης οὑτος?" 19 Και ειπεν
αυτω, "Αναστας πορευου· ἡ πιστις σου σεσωκεν σε."

*[The coming of the Kingdom]*

---

[1] ουαι δε **$f^{35}$** A [95%] CP,RP,HF,TR || πλην ουαι $P^{75}$ℵB [5%] NU
[2] μυλος ονικος **$f^{35}$** A [95%] CP,RP,HF,TR || λιθος μυλικος $P^{75}$ℵB [5%] NU
[3] ενα των μικρων τουτων **$f^{35}$** A [95%] CP,RP,HF,TR || ~ 2341 ℵB [5%] NU
[4] δε **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[5] εις σε **$f^{35}$** [95%] CP,RP,HF,TR || --- ℵA,B [5%] NU
[6] αμαρτη **$f^{35}$** ℵ [95%] CP,RP,HF,TR || αμαρτηση A,B [5%] NU
[7] της ημερας **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[8] επιστρεψη **$f^{35}$** [95%] CP,RP,HF || επιστρεψη επι σε [3%] TR || επιστρεψη προς σε ℵA,B,D [2%] NU
[9] ειπον *rell* || ειπαν NU
[10] ειχετε **$f^{352/3}$** D [30%] CP,TR || εχετε **$f^{351/3}$** $P^{75v}$ℵA,B [70%] RP,HF,NU
[11] ταυτη **$f^{35}$** A,B [98%] CP,RP,HF,TR[NU] || --- $P^{75}$ℵ [2%]
[12] ερει **$f^{35}$** A [95%] CP,RP,HF,TR || ερει αυτω $P^{75}$ℵB [5%] NU
[13] αναπεσε **$f^{35}$** $P^{75}$ℵB,D [75%] CP,RP,HF,NU || αναπεσαι A [25%] TR
[14] χαριν εχει **$f^{35}$** A [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$ℵB [5%] NU
[15] τω δουλω εκεινω **$f^{35}$** [95%] CP,RP,HF,TR || 12 $P^{75}$A,B [5%] NU || --- ℵ
[16] ου δοκω **$f^{35}$** A,W (91.8%) CP,RP,HF || αυτω ου δοκω D (2.5%) TR || αυτω (0.2%) || εποιησεν ου δοκω (2.1%) || αυτω εποιησεν ου δοκω (0.3%) || παντα . . . αυτω ου δοκω (0.6%) || παντα . . . ου δοκω (0.3%) || --- $P^{75}$B (1.5%) NU || omit the whole line ℵ (0.5%) (Two other readings 0.2%)
[17] οτι **$f^{35}$** [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵA,B [5%] NU
[18] ωφειλομεν **$f^{35}$** $P^{75}$A,D [90%] RP,HF,TR,NU || ωφειλαμεν ℵ || οφειλομεν B,66,1247 [10%] CP
[19] αυτον **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[20] μεσου **$f^{35}$** A [95%] CP,RP,HF,TR || μεσον $P^{75}$ℵB [5%] NU
[21] αυτω **$f^{35}$** ℵA [97%] CP,RP,HF,TR[NU] || --- $P^{75}$B [3%]
[22] σαμαρειτης *rell* || σαμαριτης NU
[23] εννεα *rell* || εννε CP

**20** Επερωτηθεις δε ὑπο των Φαρισαιων ποτε ερχεται ἡ βασιλεια του Θεου, απεκριθη
αυτοις και ειπεν: “Ουκ ερχεται ἡ βασιλεια του Θεου μετα παρατηρησεως· 21 ουδε ερουσιν,
‘Ιδου ὡδε’, ἠ,[1] ‘Ιδου[2] εκει’· ιδου γαρ ἡ βασιλεια του Θεου εντος ὑμων εστιν.”

**22** Ειπεν δε[3] προς τους μαθητας: “Ελευσονται ἡμεραι ὁτε επιθυμησετε μιαν των
ἡμερων του Υἱου του Ανθρωπου ιδειν, και ουκ οψεσθε. 23 Και ερουσιν ὑμιν, ‘Ιδου ὡδε’, ἠ,
‘Ιδου εκει’·[4] μη απελθητε μηδε διωξητε. 24 ‘Ωσπερ γαρ ἡ αστραπη ἡ[5] αστραπτουσα εκ της
ὑπ’[6] ουρανον εις την υπ’ ουρανον λαμπει, οὑτως εσται[7] ο Υἱος του Ανθρωπου εν τη ἡμερα
αυτου.[8] 25 Πρωτον δε δει αυτον πολλα παθειν και αποδοκιμασθηναι απο της γενεας ταυτης.
26 Και καθως εγενετο εν ταις ἡμεραις[9] Νωε, οὑτως εσται και εν ταις ἡμεραις του Υἱου του
Ανθρωπου. 27 Ησθιον, επινον, εγαμουν, εξεγαμιζοντο,[10] αχρι ἡς ἡμερας εισηλθεν Νωε εις
την κιβωτον, και ηλθεν ὁ κατακλυσμος και απωλεσεν ἁπαντας.[11] 28 ‘Ομοιως και ὡς[12]
εγενετο εν ταις ἡμεραις Λωτ· ησθιον, επινον, ηγοραζον, επωλουν, εφυτευον, ωκοδομουν· 29
ἡ δε ἡμερα εξηλθεν Λωτ απο Σοδομων, εβρεξεν πυρ και θειον απ’ ουρανου και απωλεσεν
ἁπαντας.[13] 30 Κατα ταυτα[14] εσται ἡ ἡμερα ὁ Υἱος του Ανθρωπου αποκαλυπτεται.

31 “Εν εκεινη τη ἡμερα, ὃς εσται επι του δωματος και τα σκευη αυτου εν τη οικια
μη καταβατω αραι αυτα· και ὁ εν τω[15] αγρω ὁμοιως μη επιστρεψατω εις τα οπισω.
32 Μνημονευετε της γυναικος Λωτ. 33 ‘Ος εαν ζητηση την ψυχην αυτου σωσαι[16] απολεσει
αυτην, και ὃς εαν[17] απολεση αυτην[18] ζωογονησει αυτην. 34 Λεγω ὑμιν, ταυτη τη νυκτι δυο
εσονται[19] επι κλινης μιας· εἱς[20] παραληφθησεται[21] και ὁ ἑτερος αφεθησεται. 35 Δυο
εσονται[22] αληθουσαι επι το αυτο[23] μια παραληφθησεται[24] και ἡ[25] ἑτερα αφεθησεται.”[26]

37 Και αποκριθεντες λεγουσιν αυτω, “Που, Κυριε?” ‘Ο δε ειπεν αυτοις, “‘Οπου το
σωμα, εκει[27] συναχθησονται και οἱ αετοι.”[28]

*[Parable of a persistent widow]*

---

[1] η *rell* || --- [3%] CP

[2] ιδου **f35** A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

[3] δε *rell* || δεκαι CP

[4] ωδε η ιδου εκει **f35** A [82%] RP,HF,TR || 134 D,W [5%] CP || 134 ο Χριστος [10%] || 124 [1%] || ~ 4231 $P^{75}$B [1%] [NU] || εκει και ιδου ωδε ℵ [1%]

[5] η **f35** A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

[6] υπ **f35** [95%] CP,RP,HF,TR || υπο τον $P^{75}$ℵA,B [5%] NU

[7] εσται **f35** $P^{75v}$ℵA,B [95%] CP,RP,HF,NU || εσται και D [5%] TR

[8] εν τη ημερα αυτου **f35** ℵA [97%] CP,RP,HF,TR[NU] || --- $P^{75}$B,D [3%]

[9] ημεραις **f35** $P^{75}$ℵA,B,D [98%] CP,RP,HF,NU || ημεραις του [2%] TR

[10] εξεγαμιζοντο **f35** A [95%] CP,RP,HF,TR || εγαμιζοντο $P^{75}$ℵB [5%] NU

[11] απαντας **f35** ℵA [98%] CP,RP,HF,TR || παντας $P^{75}$B [2%] NU

[12] και ως **f35** A [95%] CP,RP,HF,TR || καθως $P^{75}$ℵB [5%] NU

[13] απαντας **f35** ℵA [98%] CP,RP,HF,TR || παντας B [2%] NU

[14] ταυτα **f35** $P^{75v}$ℵA [98%] CP,RP,HF,TR || τα αυτα B [2%] NU

[15] τω **f35** A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

[16] σωσαι **f35** ℵA,W [98%] Diat,CP,RP,HF,TR || περιποιησασθαι $P^{75}$B [2%] NU || ζωογονησαι (D)

[17] και ος εαν **f35** A [95%] CP,RP,HF,TR || ος δαν $P^{75}$B [4%] NU || ος δαν εαν ℵ [1%]

[18] αυτην **f35** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU

[19] δυο εσονται **f35** A [60%] || ~ 21 $P^{75}$ℵB,D [40%] CP,RP,HF,TR,NU

[20] εις **f35** A,D [85%] CP,RP,HF || ο εις $P^{75}$ℵB [15%] TR,NU

[21] παραληφθησεται *rell* || παραλημφθησεται NU

[22] δυο εσονται **f35** A [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$B [5%] NU (ℵ omits verse.)

[23] αυτο **f35** A [80%] CP,RP,HF,TR || αυτο η $P^{75}$B,D [20%] NU

[24] παραληφθησεται *rell* || παραλημφθησεται NU

[25] και η **f35** A [95%] CP,RP,HF,TR || η δε $P^{75v}$B [5%] NU

[26] αφεθησεται **f35** $P^{75}$ℵA,B [75%] cop,RP,HF,TR,NU || αφεθησεται 36 δυο εσονται εν τω αγρω ο εις παραληφθησεται και ο ετερος αφεθησεται D [25%] lat,syr,Diat,*Lect*,CP

[27] εκει **f35** A,D [98%] CP,RP,HF,TR || εκει και ℵB [2%] NU

[28] συναχθησονται και οι αετοι **f35** [30%] || 134 A [65%] CP,RP,HF,TR || ~ 341 ℵB [5%] NU

**18.1** Ελεγεν δε και[1] παραβολην αυτοις προς το δειν παντοτε προσευχεσθαι[2] και μη
εκκακειν,[3] 2 λεγων: "Κριτης τις ἦν εν τινι πολει τον Θεον μη φοβουμενος και ανθρωπον
μη εντρεπομενος. 3 Χηρα δε ἦν εν τη πολει εκεινη, και ἤρχετο προς αυτον, λεγουσα,
'Ἐκδικησον με απο του αντιδικου μου'. 4 Και ουκ ηθελεν[4] επι χρονον· μετα δε ταυτα ειπεν
εν ἑαυτω, 'Ἑι και τον Θεον ου φοβουμαι και ανθρωπον ουκ[5] εντρεπομαι, 5 δια γε το
παρεχειν μοι κοπον την χηραν ταυτην εκδικησω αυτην, ἱνα μη εις τελος ερχομενη
ὑπωπιαζη[6] με'."

6 Ειπεν δε ὁ Κυριος: "Ακουσατε τί ὁ κριτης της αδικιας λεγει. 7 Ὁ δε Θεος ου μη
ποιηση[7] την εκδικησιν των εκλεκτων αυτου των βοωντων προς αυτον[8] ἡμερας και νυκτος,
και μακροθυμων[9] επ' αυτοις? 8 Λεγω[10] ὑμιν ὁτι ποιησει την εκδικησιν αυτων εν ταχει.
Πλην ὁ Υἱος του Ανθρωπου ελθων αρα εὑρησει την πιστιν επι της γης?"

*[Parable of a Pharisee and a publican]*

**9** Ειπεν δε[11] προς τινας τους πεποιθοτας εφ' ἑαυτοις ὁτι εισιν δικαιοι και
εξουθενουντας τους λοιπους την παραβολην ταυτην: 10 "Ανθρωποι δυο ανεβησαν εις το
ἱερον προσευξασθαι, ὁ εἱς Φαρισαιος και ὁ ἑτερος τελωνης. 11 Ὁ Φαρισαιος σταθεις προς
ἑαυτον ταυτα[12] προσηυχετο: 'Ὁ Θεος, ευχαριστω σοι ὁτι ουκ ειμι ὡσπερ οἱ λοιποι των
ανθρωπων—ἁρπαγες, αδικοι, μοιχοι—ἠ και ὡς οὑτος ὁ τελωνης. 12 Νηστευω δις του
σαββατου, αποδεκατω παντα ὁσα κτωμαι.' 13 Και ὁ[13] τελωνης, μακροθεν ἑστως, ουκ ηθελεν
ουδε τους οφθαλμους εις τον ουρανον επαραι,[14] αλλ' ετυπτεν εις[15] το στηθος αυτου λεγων,
'Ὁ Θεος, ἱλασθητι μοι τω ἁμαρτωλω!' 14 Λεγω ὑμιν, κατεβη οὑτος δεδικαιωμενος εις τον
οικον αυτου ἠ γαρ εκεινος·[16] ὁτι πας ὁ ὑψων ἑαυτον ταπεινωθησεται, ὁ δε ταπεινων ἑαυτον
ὑψωθησεται.

*[You enter the Kingdom like a child does]*

**15** Προσεφερον δε αυτω και τα βρεφη ἱνα αυτων ἁπτηται, ιδοντες δε οἱ μαθηται
επετιμησαν[17] αυτοις. 16 Ὁ δε Ιησους προσκαλεσαμενος αυτα ειπεν:[18] "Αφετε τα παιδια
ερχεσθαι προς με και μη κωλυετε αυτα, των γαρ τοιουτων εστιν ἡ βασιλεια του Θεου.
17 Αμην λεγω ὑμιν, ὃς εαν[19] μη δεξηται την βασιλειαν του Θεου ὡς παιδιον, ου μη εισελθη
εις αυτην."

*[An upright, rich ruler]*

**18** Και επηρωτησεν τις αυτον αρχων λεγων, "Διδασκαλε αγαθε, τί ποιησας ζωην
αιωνιον κληρονομησω?" 19 Ειπεν δε αυτω ὁ Ιησους: "Τί με λεγεις αγαθον? Ουδεις αγαθος
ει μη εἱς, ὁ Θεος. 20 Τας εντολας οιδας: 'Μη μοιχευσης, Μη φονευσης, Μη κλεψης, Μη

---

[1] και **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- אB [5%] NU
[2] προσευχεσθαι **$f^{35}$** D [40%] CP,RP,HF,TR || προσευχεσθαι αυτους אA,B [60%] NU
[3] εκκακειν **$f^{35}$** [95%] CP,RP,HF,TR || εγκακειν (אA,B) [5%] NU
[4] ηθελεν **$f^{35}$** אA,B,D [60%] NU || ηθελησεν [40%] CP,RP,HF,TR
[5] και ανθρωπον ουκ **$f^{35}$** A [95%] CP,RP,HF,TR || ουδε ανθρωπον אB [5%] NU
[6] υπωπιαζη **$f^{35}$** אA,B,D [45%] TR,NU || υποπιαζη [40%] CP,RP,HF || υποπιεζη [15%]
[7] ποιηση **$f^{35}$** $P^{75}$אB,D [60%] CP,RP,HF,NU || ποιησει A [40%] TR
[8] προς αυτον **$f^{35}$** A [95%] CP,RP,HF,TR || αυτω $P^{75}$אB [5%] NU
[9] μακροθυμων **$f^{35}$** [95%] CP,RP,HF,TR || μακροθυμει אA,B [5%] NU
[10] λεγω *rell* || ναι λεγω CP
[11] δε **$f^{35}$** A [75%] CP,RP,HF || δε και $P^{75}$אB [25%] TR,NU
[12] προς εαυτον ταυτα **$f^{35}$** A,W [98%] syr,CP,RP,HF,TR,NU || ~ 312 $P^{75}$B [2%] vg,bo || 3 א,it,sa,Diat || καθ εαυτον ταυτα D
[13] και ο **$f^{35}$** A [95%] CP,RP,HF,TR || ο δε $P^{75v}$אB [5%] NU
[14] εις τον ουρανον επαραι **$f^{35}$** A [95%] CP,RP,HF,TR || ~ 4123 אB [5%] NU
[15] εις **$f^{35}$** A [95%] CP,RP,HF,TR || --- אB [5%] NU
[16] η γαρ εκεινος **$f^{35}$** A [94%] CP,RP,HF || 13 D [5%] TR || γαρ εκεινον אB [1%] NU
[17] επετιμησαν **$f^{35}$** A [95%] CP,RP,HF,TR || επετιμων אB [5%] NU
[18] προσκαλεσαμενος αυτα ειπεν **$f^{35}$** A [95%] CP,RP,HF,TR || προσκαλεσατο αυτα λεγων אB [5%] NU
[19] εαν **$f^{35}$** A [95%] CP,RP,HF,TR || αν אB [5%] NU

ψευδομαρτυρησης, Τιμα τον πατερα σου και την μητερα σου’.”[1] 21 Ὁ δε ειπεν, “Ταυτα
παντα εφυλαξαμην[2] εκ νεοτητος μου.”[3] 22 Ακουσας δε ταυτα[4] ὁ Ιησους ειπεν αυτω, “Ετι ἐν
σοι λειπει—παντα ὁσα εχεις πωλησον και διαδος πτωχοις, και ἑξεις θησαυρον εν ουρανω·[5]
και δευρο, ακολουθει μοι.” 23 Ὁ δε ακουσας ταυτα περιλυπος εγενετο,[6] ἦν γαρ πλουσιος
σφοδρα.

*[Riches tend to keep people out of the Kingdom]*

**24** Ιδων δε αυτον ὁ Ιησους περιλυπον γενομενον[7] ειπεν: “Πως δυσκολως οἱ τα
χρηματα εχοντες εισελευσονται εις την βασιλειαν του Θεου![8] 25 Ευκοπωτερον γαρ εστιν
καμηλον δια τρυμαλιας ῥαφιδος[9] εισελθειν ἢ πλουσιον εις την βασιλειαν του Θεου
εισελθειν.” 26 Ειπον δε οἱ ακουσαντες, “Και τίς δυναται σωθηναι?” 27 Ὁ δε ειπεν, “Τα
αδυνατα παρα ανθρωποις δυνατα εστιν παρα τω Θεω.”[10]

**28** Ειπεν δε[11] Πετρος, “Ιδου, ἡμεις αφηκαμεν παντα και[12] ηκολουθησαμεν σοι.” 29 Ὁ
δε ειπεν αυτοις, “Αμην λεγω ὑμιν ὁτι ουδεις εστιν ὃς αφηκεν οικιαν ἢ γονεις ἢ αδελφους
ἢ γυναικα[13] ἢ τεκνα ἑνεκεν της βασιλειας του Θεου, 30 ὃς ου[14] μη απολαβη[15] πολλαπλασιονα
εν τω καιρω τουτω, και εν τω αιωνι τω ερχομενω ζωην αιωνιον.”

*[Jesus declares His coming death and resurrection]*

**31** Παραλαβων δε τους δωδεκα ειπεν προς αυτους: “Ιδου, αναβαινομεν εις
Ἱεροσολυμα,[16] και τελεσθησεται παντα τα γεγραμμενα δια των προφητων τω Υἱω του
Ανθρωπου. 32 Παραδοθησεται γαρ τοις εθνεσιν, και εμπαιχθησεται και ὑβρισθησεται και
εμπτυσθησεται, 33 και μαστιγωσαντες αποκτενουσιν αυτον. Και τη ἡμερα τη τριτη[17]
αναστησεται.” 34 Και αυτοι ουδεν τουτων συνηκαν, και ἦν το ρημα τουτο κεκρυμμενον απ’
αυτων, και ουκ εγινωσκον τα λεγομενα.

*[A blind man near Jericho]*

**35** Εγενετο δε εν τω εγγιζειν αυτον εις Ιεριχω, τυφλος τις εκαθητο παρα την ὁδον
προσαιτων.[18] 36 Ακουσας δε οχλου διαπορευομενου, επυνθανετο τί[19] ειη τουτο.
37 Απηγγειλαν δε αυτω ὁτι Ιησους ὁ Ναζωραιος παρερχεται. 38 Και εβοησεν λεγων,
“Ιησου, Υἱε Δαυιδ, ελεησον με!” 39 Και οἱ προαγοντες επετιμων αυτω ἱνα σιωπηση·[20] αυτος
δε πολλω μαλλον εκραζεν, “Υἱε Δαυιδ, ελεησον με!” 40 Σταθεις δε ὁ Ιησους εκελευσεν
αυτον αχθηναι προς αυτον. Εγγισαντος δε αυτου επηρωτησεν αυτον λεγων,[21] 41 “Τί σοι
θελεις ποιησω?” Ὁ δε ειπεν, “Κυριε, ἱνα αναβλεψω.” 42 Και ὁ Ιησους ειπεν αυτω:

---

[1] σου $\mathbf{f}^{35}$ ℵ [92%] CP,RP,HF,TR || --- A,B,D [8%] NU
[2] εφυλαξαμην $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || εφυλαξα ℵA,B [5%] NU
[3] μου $\mathbf{f}^{35}$ ℵA [98%] CP,RP,HF,TR || --- B [2%] NU
[4] ταυτα $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[5] ουρανω $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || ουρανοις ℵA [3%] || τοις ουρανοις B [2%] [NU]
[6] εγενετο $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || εγενηθη ℵB [5%] NU
[7] περιλυπον γενομενον $\mathbf{f}^{35}$ A(D)W [99%] lat,syr,CP,RP,HF,TR[NU] || --- ℵB [1%] cop
[8] εισελευσονται εις την βασιλειαν του θεου $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 234561 ℵ [3%] || εις την βασιλειαν του θεου εισπορευονται B [2%] NU
[9] τρυμαλιας ραφιδος $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || τρηματος βελονης ℵB [5%] NU
[10] εστιν παρα τω θεω $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 2341 ℵB [5%] NU
[11] δε $\mathbf{f}^{35}$ A [70%] CP,RP,HF || δε ο ℵB,D [30%] TR,NU
[12] αφηκαμεν παντα και $\mathbf{f}^{35}$ ℵA [98%] CP,RP,HF,TR || αφεντες τα ιδια B [2%] NU
[13] γονεις η αδελφους η γυναικα $\mathbf{f}^{35}$ A,W [95%] CP,RP,HF,TR || ~ 52341 ℵB [4%] NU || 123 η αδελφας 45 D [1%]
[14] ος ου $\mathbf{f}^{35}$ A,W [95%] CP,RP,HF,TR || ος ουχι ℵB [5%] NU || εαν D
[15] απολαβη $\mathbf{f}^{35}$ ℵA,W [98%] CP,RP,HF,TR[NU] || λαβη B,D [2%]
[16] ιεροσολυμα $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ιερουσαλημ ℵB [5%] NU
[17] ημερα τη τριτη *rell* || τριτη ημερα [10%]
[18] προσαιτων $\mathbf{f}^{35}$ A,W [95%] CP,RP,HF,TR || επαιτων ℵB(D) [5%] NU
[19] τι $\mathbf{f}^{35}$ ℵA,B,W [70%] CP,RP,HF,TR,NU || τι αν D [30%]
[20] σιωπηση $\mathbf{f}^{35}$ ℵA [98%] CP,RP,HF,TR || σιγηση B,D,W [2%] NU
[21] λεγων $\mathbf{f}^{35}$ A,W [95%] CP,RP,HF,TR || --- ℵB,D [5%] NU

“Αναβλεψον! Ἡ πιστις σου σεσωκεν σε.” 43 Και παραχρημα ανεβλεψεν, και ηκολουθει αυτω
δοξαζων τον Θεον. Και πας ὁ λαος ιδων εδωκεν αινον τω Θεω.

*[Zacchaeus]*

**19**.1 Και εισελθων διηρχετο την Ιεριχω. 2 Και ιδου, ανηρ ονοματι καλουμενος
Ζακχαιος, και αυτος ἦν αρχιτελωνης, και οὗτος ἦν[1] πλουσιος. 3 Και εζητει ιδειν τον
Ιησουν τίς εστιν, και ουκ ηδυνατο απο του οχλου ὅτι τη ἡλικια μικρος ἦν. 4 Και
προδραμων[2] εμπροσθεν[3] ανεβη επι συκομοραιαν[4] ἵνα ιδη αυτον, ὅτι[5] εκεινης ημελλεν[6]
διερχεσθαι. 5 Και ὡς ηλθεν επι τον τοπον, αναβλεψας ὁ Ιησους ειδεν αυτον, και[7] ειπεν
προς αυτον, “Ζακχαιε, σπευσας καταβηθι, σημερον γαρ εν τω οικω σου δει με μειναι.”
6 Και σπευσας κατεβη, και ὑπεδεξατο αυτον χαιρων. 7 Και ιδοντες, παντες[8] διεγογγυζον,
λεγοντες ὅτι “Παρα ἁμαρτωλω ανδρι εισηλθεν καταλυσαι.”

8 Σταθεις δε Ζακχαιος ειπεν προς τον Κυριον, “Ιδου, τα ἡμιση[9] των ὑπαρχοντων
μου,[10] Κυριε, διδωμι τοις πτωχοις,[11] και ει τινος τι εσυκοφαντησα αποδιδωμι τετραπλουν.”
9 Ειπεν δε προς αυτον ὁ Ιησους ὅτι “Σημερον σωτηρια τω οικω τουτω εγενετο, καθοτι και
αυτος υἱος Ἀβρααμ εστιν· 10 ηλθεν γαρ ὁ Υἱος του Ανθρωπου ζητησαι[12] και σωσαι το
απολωλος.”

*[Ten minas for ten slaves]*

**11** Ακουοντων δε αυτων ταυτα προσθεις ειπεν παραβολην, δια το εγγυς αυτον ειναι
Ἱερουσαλημ[13] και δοκειν αυτους ὅτι παραχρημα μελλει ἡ βασιλεια του Θεου αναφαινεσθαι.
12 Ειπεν ουν: “Ανθρωπος τις ευγενης επορευθη εις χωραν μακραν λαβειν ἑαυτω βασιλειαν
και ὑποστρεψαι. 13 Καλεσας δε δεκα δουλους ἑαυτου, εδωκεν αυτοις δεκα μνας και ειπεν
προς αυτους, ‘Πραγματευσασθε ἑως[14] ερχομαι.’ 14 Οἱ δε πολιται αυτου εμισουν αυτον, και
απεστειλαν πρεσβειαν οπισω αυτου λεγοντες, ‘Ου θελομεν τουτον βασιλευσαι εφ’ ἡμας.’
15 Και εγενετο εν τω επανελθειν αυτον λαβοντα την βασιλειαν, ειπεν[15] φωνηθηναι αυτω
τους δουλους τουτους οἱς εδωκεν[16] το αργυριον, ἱνα γνω[17] τις τι διεπραγματευσατο.[18]
16 Παρεγενετο δε ὁ πρωτος λεγων, ‘Κυριε, ἡ μνα[19] σου προσειργασατο δεκα[20] μνας.’ 17 Και
ειπεν αυτω, ‘Ευ,[21] αγαθε δουλε· ὅτι εν ελαχιστω πιστος εγενου, ισθι εξουσιαν εχων επανω
δεκα πολεων.’ 18 Και ηλθεν ὁ δευτερος λεγων, ‘Κυριε, ἡ μνα[22] σου[23] εποιησεν πεντε μνας.’

---

[1] ουτος ην **f**[35] A(W) [95%] CP,RP,HF,TR || αυτος B [3%] NU || ην ℵ [2%] || --- D
[2] προδραμων **f**[35] ℵA,B,Q [87%] RP,HF,TR,NU || προσδραμων W [10%] CP || δραμων [3%] || προλαβων D
[3] εμπροσθεν **f**[35] A,D,W [95%] CP,RP,HF,TR || εις το εμπροσθεν ℵB,T [5%] NU
[4] συκομοραιαν **f**[35] [40%] || συκομωραιαν [55%] RP,HF,TR || συκομωρεαν D [4%] CP || συκομορεαν ℵB [1%] NU || συκωμοραιαν A
[5] οτι **f**[35] ℵA,B,D [65%] CP,RP,HF,NU || οτι δι [35%] TR
[6] ημελλεν **f**[35] ℵA,B,D [60%] TR,NU || εμελλεν [40%] CP,RP,HF
[7] ειδεν αυτον και **f**[35] A(D)W [95%] CP,RP,HF,TR || --- ℵB,T [5%] NU
[8] παντες **f**[35] ℵA,B,D [70%] CP,RP,HF,NU || απαντες [30%] TR
[9] ημιση **f**[35] [90%] CP,RP,HF,TR || ημισια ℵB,Q [5%] NU || ημισυ A(W) [5%]
[10] των υπαρχοντων μου **f**[35] A [95%] CP,RP,HF,TR || ~312 ℵB [5%] NU
[11] διδωμι τοις πτωχοις **f**[35] A,W [95%] CP,RP,HF,TR || ~231 ℵ,D,Q [3%] NU || ~31 B [2%]
[12] ζητησαι *rell* || ζητεισαι CP
[13] αυτον ειναι ιερουσαλημ **f**[35] A [95%] CP,RP,HF,TR || ~231 ℵB [5%] NU
[14] εως **f**[35] [95%] CP,RP,HF,TR || εν ω ℵA,B [5%] NU
[15] ειπεν **f**[35] [25%] CP || και ειπεν ℵA,B,D [75%] RP,HF,TR,NU
[16] εδωκεν **f**[35] A [95%] CP,RP,HF,TR || δεδωκει ℵB [5%] NU
[17] γνω **f**[35] A [95%] CP,RP,HF,TR || γνοι ℵB [5%] NU
[18] τις τι διεπραγματευσατο **f**[35] A(W) (99.2%) CP,RP,HF,TR || 2 διεπραγματευσαντο ℵB,D (0.8%) NU
[19] μνα **f**[35] ℵA,B,D [50%] CP,RP,HF,TR,NU || μνας [50%]
[20] προσειργασατο δεκα **f**[35] [95%] CP,RP,HF,TR [προσηργασατο δεκα A 2%] || δεκα προσηργασατο (ℵ)B [3%] NU
[21] ευ **f**[35] ℵA [98%] CP,RP,HF,TR || ευγε B [2%] NU
[22] μνα **f**[35] ℵA,B,D [50%] CP,RP,HF,TR,NU || μνας [50%]
[23] κυριε η μνα σου **f**[35] A [95%] CP,RP,HF,TR || ~2341 ℵB [5%] NU

19 Ειπεν δε και τουτω, 'Και συ γινου επανω[1] πεντε πολεων.' 20 Και ἑτερος[2] ηλθεν λεγων:
'Κυριε, ιδου ἡ μνα[3] σου ἣν ειχον αποκειμενην εν σουδαριω. 21 Εφοβουμην γαρ σε, ὁτι
ανθρωπος αυστηρος εἶ· αιρεις ὃ ουκ εθηκας και θεριζεις ὃ ουκ εσπειρας.' 22 Λεγει δε[4]
αυτω: 'Εκ του στοματος σου κρινω σε, πονηρε δουλε. Ηδεις ὁτι εγω ανθρωπος αυστηρος
ειμι, αιρων ὃ ουκ εθηκα και θεριζων ὃ ουκ εσπειρα. 23 Και δια τί ουκ εδωκας το
αργυριον μου[5] επι την τραπεζαν,[6] και εγω[7] ελθων[8] συν τοκω αν επραξα αυτο?'[9] 24 Και τοις
παρεστωσιν ειπεν, 'Αρατε απ' αυτου την μναν και δοτε τω τας δεκα μνας εχοντι.' 25
(Και ειπον αυτω, 'Κυριε, εχει δεκα μνας.') 26 'Λεγω γαρ[10] ὑμιν ὁτι παντι τω εχοντι
δοθησεται· απο δε του μη εχοντος, και ὃ εχει αρθησεται απ' αυτου.[11] 27 Πλην τους εχθρους
μου εκεινους,[12] τους μη θελησαντας με βασιλευσαι επ' αυτους, αγαγετε ὡδε και
κατασφαξατε[13] εμπροσθεν μου.'"

*[The 'Triumphal Entry']*

**28** Και ειπων ταυτα επορευετο εμπροσθεν, αναβαινων εις Ἱεροσολυμα. 29 Και
εγενετο ὡς ηγγισεν εις Βηθσφαγη[14] και Βηθανιαν,[15] προς το ορος το καλουμενον Ελαιων,
απεστειλεν δυο των μαθητων αυτου[16] 30 ειπων:[17] "'Υπαγετε εις την κατεναντι κωμην, εν ᾗ
εισπορευομενοι εὑρησετε πωλον δεδεμενον, εφ' ὃν ουδεις πωποτε ανθρωπων εκαθισεν.[18]
Λυσαντες αυτον αγαγετε. 31 Και εαν τις ὑμας ερωτα, 'Δια τί λυετε?' οὑτως ερειτε αυτω[19]
ὁτι 'Ὁ Κυριος αυτου χρειαν εχει'."

[A steed for the King]

32 Απελθοντες δε οἱ απεσταλμενοι εὑρον καθως ειπεν αυτοις. 33 Λυοντων δε αυτων
τον πωλον ειπον[20] οἱ κυριοι αυτου προς αυτους, "Τί λυετε τον πωλον?" 34 Οἱ δε ειπον,[21]
"Ὁ Κυριος αυτου χρειαν εχει." 35 Και ηγαγον αυτον προς τον Ιησουν. Και επιρριψαντες[22]
ἑαυτων[23] τα ἱματια επι τον πωλον, επεβιβασαν τον Ιησουν. 36 Πορευομενου δε αυτου,
ὑπεστρωννυον τα ἱματια αυτων εν τη ὁδω.

[Rejoicing and praising]

**37** Εγγιζοντος δε αυτου ηδη προς τη καταβασει του Ορους των Ελαιων, ηρξαντο[24]
ἁπαν το πληθος των μαθητων χαιροντες αινειν τον Θεον φωνη μεγαλη περι πασων ὧν

---

[1] γινου επανω **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 ℵB [5%] NU
[2] ετερος **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ο ετερος B [5%] NU || οτερος ℵ
[3] μνα **f**$^{35}$ ℵA,B [50%] CP,RP,HF,TR,NU || μνας [50%]
[4] δε **f**$^{35}$ A,D [60%] CP,RP,HF,TR || --- ℵB [40%] NU
[5] το αργυριον μου **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 312 ℵA,B [5%] NU
[6] την τραπεζαν **f**$^{35}$ [20%] TR || 2 ℵA,B,D [80%] RP,HF,NU || της τραπεζιταις CP
[7] και εγω **f**$^{35}$ A [95%] (CP)RP,HF,TR || καγω ℵB [5%] NU
[8] εγω ελθων *rell* || ~ 21 CP
[9] επραξα αυτο **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 21 ℵB [5%] NU || αυτο ανεπραξα A
[10] γαρ **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[11] απ αυτου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[12] εκεινους **f**$^{35}$ A [95%] CP,RP,HF,TR || τουτους ℵB [5%] NU
[13] κατασφαξατε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || κατασφαξατε αυτους ℵB [5%] NU
[14] βηθσφαγη **f**$^{35}$ B [60%] CP,RP,HF || βηθφαγη ℵA [40%] TR,NU [Three consonants in a row are decidedly more difficult to pronounce than two—it is hard to imagine why anyone would add the *sigma*.
[15] βηθανιαν **f**$^{35}$ A [95%] CP,RP,HF,TR[NU] || βηθανια ℵB [5%]
[16] αυτου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[17] ειπων **f**$^{35}$ A [95%] CP,RP,HF,TR || λεγων ℵB [5%] NU
[18] εκαθισεν **f**$^{35}$ ℵA [98%] CP,RP,HF,TR || εκαθισεν και B [2%] NU
[19] αυτω **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[20] ειπον *rell* || ειπαν NU (Also in verses 34 and 39.)
[21] ειπον **f**$^{35}$ [50%] CP,RP,HF,TR || ειπον οτι ℵA,B,D [50%] NU
[22] επιρριψαντες **f**$^{35}$ [98%] CP,RP,HF,TR || επιριψαντες ℵA,B,D [2%] NU
[23] εαυτων **f**$^{35}$ A [95%] CP,RP,HF,TR || αυτων ℵB [5%] NU
[24] ηρξαντο **f**$^{35}$ ℵA,B [70%] CP,RP,HF,TR,NU || ηρξατο D [30%]

ειδον δυναμεων 38 λεγοντες: "Ευλογημενος ὁ ερχομενος[1] Βασιλευς εν ονοματι Κυριου!
Ειρηνη εν ουρανω[2] και δοξα εν ὑψιστοις!"

[A sour note]

**39** Και τινες των Φαρισαιων απο του οχλου ειπον προς αυτον, "Διδασκαλε,
επιτιμησον τοις μαθηταις σου." 40 Και αποκριθεις ειπεν αυτοις,[3] "Λεγω ὑμιν ὁτι[4] εαν
οὑτοι σιωπησωσιν,[5] οἱ λιθοι κεκραξονται!"[6]

[Jesus weeps over Jerusalem]

**41** Και ὡς ηγγισεν, ιδων την πολιν εκλαυσεν επ' αυτη,[7] 42 λεγων ὁτι "Ει εγνως
και συ, και γε εν τη ἡμερα σου ταυτη,[8] τα προς ειρηνην σου![9] Νυν δε εκρυβη απο
οφθαλμων σου. 43 Ὁτι ἡξουσιν ἡμεραι επι σε και περιβαλουσιν[10] οἱ εχθροι σου χαρακα σοι
και περικυκλωσουσιν σε και συνεξουσιν σε παντοθεν, 44 και εδαφιουσιν σε και τα τεκνα
σου εν σοι· και ουκ αφησουσιν εν σοι λιθον επι λιθω,[11] ανθ' ὧν ουκ εγνως τον καιρον της
επισκοπης σου."

[Jesus cleanses the temple]

**45** Και εισελθων εις το ἱερον ηρξατο εκβαλλειν τους πωλουντας εν αυτω και
αγοραζοντας[12] 46 λεγων αυτοις, "Γεγραπται,[13] 'Ὁ οικος μου οικος προσευχης εστιν',[14] ὑμεις
δε αυτον εποιησατε σπηλαιον ληστων."

**47** Και ἦν διδασκων το καθ' ἡμεραν εν τω ἱερω. Οἱ δε αρχιερεις και οἱ γραμματεις
εζητουν αυτον απολεσαι, και οἱ πρωτοι του λαου, 48 και ουχ εὑρισκον το τί ποιησουσιν,[15]
ὁ λαος γαρ ἁπας εξεκρεματο αυτου ακουων.

[Jesus' authority questioned]

**20.1** Και εγενετο εν μια των ἡμερων εκεινων,[16] διδασκοντος αυτου τον λαον εν τω
ἱερω και ευαγγελιζομενου, επεστησαν οἱ ἱερεις[17] και οἱ γραμματεις συν τοις πρεσβυτεροις
2 και ειπον προς αυτον λεγοντες,[18] "Ειπε ἡμιν[19] εν ποια εξουσια ταυτα ποιεις, ἡ τίς εστιν
ὁ δους σοι την εξουσιαν ταυτην?" 3 Αποκριθεις δε ειπεν προς αυτους: "Ερωτησω ὑμας καγω
ἑνα λογον[20] και ειπατε μοι: 4 Το βαπτισμα Ιωαννου εξ ουρανου ἦν ἡ εξ ανθρωπων?" 5 Οἱ
δε συνελογισαντο προς ἑαυτους λεγοντες ὁτι "Εαν ειπωμεν, 'Εξ ουρανου', ερει, 'Δια τί[21]
ουκ επιστευσατε αυτω?' 6 Εαν δε ειπωμεν, 'Εξ ανθρωπων', πας ὁ λαος[22] καταλιθασει ἡμας,

---

[1] ερχομενος **f³⁵** A(W) [95%] CP,RP,HF,TR || ερχομενος ο (ℵ)B [5%] NU || (D transposes.)
[2] ειρηνη εν ουρανω **f³⁵** [95%] CP,RP,HF,TR || ~ 231 B [3%] NU || ειρηνη εν ουρανοις A [2%] || εν ουρανω εν ιρηνη ℵ
[3] αυτοις **f³⁵** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[4] οτι **f³⁵** ℵA [98%] CP,RP,HF,TR || --- B [2%] NU
[5] σιωπησωσιν **f³⁵** [95%] CP,RP,HF,TR || σιωπησουσιν ℵA,B [5%] NU
[6] κεκραξονται **f³⁵** A [95%] CP,RP,HF,TR || κραξουσιν ℵB [5%] NU
[7] αυτη **f³⁵** [70%] CP,RP,HF,TR || αυτην ℵA,B,D [30%] NU
[8] και συ (σοι 1.1%) και γε εν τη ημερα σου ταυτη **f³⁵** W (88.1%) syr,Diat,CP,RP,HF,TR || 1234567-9 A (9.3%) || ~ 567912 ℵB (1%) NU || 125679 D (0.2%) cop || και συ και γε εν ταις ημεραις ταυταις (1.1%) || three other readings (0.2%)
[9] σου **f³⁵** A,W [97%] syr,bo,Diat,CP,RP,HF,TR || --- ℵB [1%] sa,NU || σοι D [2%] lat
[10] περιβαλουσιν **f³⁵** A,B [98%] CP,RP,HF,TR || παρεμβαλουσιν ℵCᵛ [2%] NU
[11] εν σοι λιθον επι λιθω **f³⁵** A,C [95%] CP,RP,HF,TR || λιθον επι λιθον εν σοι ℵB [5%] NU
[12] εν αυτω και αγοραζοντας **f³⁵** A [95%] CP,RP,HF,TR || και τους αγοραζοντας C [2%] || --- ℵB [3%] NU
[13] γεγραπται **f³⁵** ℵ [95%] CP,RP,HF,TR || γεγραπται οτι A,C [3%] || γεγραπτα και εσται B [2%] NU
[14] εστιν **f³⁵** A,C [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[15] ποιησουσιν **f³⁵** [40%] CP || ποιησωσιν ℵA,B,C,D [60%] RP,HF,TR,NU
[16] εκεινων **f³⁵** A,C [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[17] ιερεις **f³⁵** A [80%] RP,HF || αρχιερεις ℵB,C [20%] CP,TR,NU
[18] προς αυτον λεγοντες **f³⁵** A [95%] CP,RP,HF,TR || 12 C [2%] || ~ 312 ℵB [3%] NU
[19] ειπε ημιν **f³⁵** A [95%] CP,RP,HF,TR || ειπον ημιν B [2%] NU || --- ℵC [3%]
[20] ενα λογον **f³⁵** C [95%] CP,RP,HF,TR || ~ 21 A [2%] || 2 ℵB [3%] NU
[21] τι **f³⁵** ℵB [80%] CP,RP,HF,NU || τι ουν A,C,D [20%] TR
[22] πας ο λαος **f³⁵** A,C [97%] CP,RP,HF,TR || ο λαος απας ℵB [3%] NU

πεπεισμενος γαρ εστιν Ιωαννην προφητην ειναι.” 7 Και απεκριθησαν μη ειδεναι ποθεν. 8 Και ὁ Ιησους ειπεν αυτοις, “Ουδε εγω λεγω ὑμιν εν ποια εξουσια ταυτα ποιω.”

[Parable of some perverse tenants = the chief priests and scribes]

**9** Ηρξατο δε προς τον λαον λεγειν την παραβολην ταυτην: “Ανθρωπος[1] εφυτευσεν αμπελωνα, και εξεδοτο[2] αυτον γεωργοις, και απεδημησεν χρονους ἱκανους. 10 Και εν[3] καιρω απεστειλεν προς τους γεωργους δουλον, ἱνα απο του καρπου του αμπελωνος δωσιν[4] αυτω. Οἱ δε γεωργοι δηραντες[5] αυτον εξαπεστειλαν[6] κενον. 11 Και προσεθετο πεμψαι ἑτερον[7] δουλον· οἱ δε κακεινον δηραντες[8] και ατιμασαντες εξαπεστειλαν κενον. 12 Και προσεθετο πεμψαι τριτον·[9] οἱ δε και τουτον τραυματισαντες εξεβαλον. 13 Ειπεν δε ὁ κυριος του αμπελωνος: ‘Τί ποιησω? Πεμψω τον υἱον μου τον αγαπητον· ισως τουτον ιδοντες[10] εντραπησονται.’ 14 Ιδοντες δε αυτον οἱ γεωργοι διελογιζοντο προς ἑαυτους[11] λεγοντες: ‘Οὑτος εστιν ὁ κληρονομος. Δευτε,[12] αποκτεινωμεν αυτον, ἱνα ἡμων γενηται ἡ κληρονομια.’ 15 Και εκβαλοντες[13] εξω του αμπελωνος, απεκτειναν. Τί ουν ποιησει αυτοις ὁ κυριος του αμπελωνος? 16 Ελευσεται και απολεσει τους γεωργους τουτους, και δωσει τον αμπελωνα αλλοις.” Ακουσαντες δε ειπον, “Μη γενοιτο!”

17 Ὁ δε εμβλεψας αυτοις ειπεν: “Τί ουν εστιν το γεγραμμενον τουτο, ‘Λιθον ὃν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας’? 18 Πας ὁ πεσων επ’ εκεινον τον λιθον συνθλασθησεται· εφ’ ὃν δ’ αν πεση, λικμησει αυτον.”

19 Και εζητησαν οἱ αρχιερεις και οἱ γραμματεις[14] επιβαλειν επ’ αυτον τας χειρας εν αυτη τη ὡρα· και εφοβηθησαν,[15] εγνωσαν γαρ ὁτι προς αυτους την παραβολην ταυτην ειπεν.[16]

[To Caesar, Caesar’s; to God, God’s]

**20** Και παρατηρησαντες απεστειλαν εγκαθετους ὑποκρινομενους ἑαυτους δικαιους ειναι, ἱνα επιλαβωνται αυτου λογου, εις το[17] παραδουναι αυτον τη αρχη και τη εξουσια του ἡγεμονος. 21 Και επηρωτησαν αυτον λεγοντες: “Διδασκαλε, οιδαμεν ὁτι ορθως λεγεις και διδασκεις, και ου λαμβανεις προσωπον αλλ’ επ’ αληθειας την ὁδον του Θεου διδασκεις. 22 Εξεστιν ἡμιν[18] Καισαρι φορον δουναι ἡ ου?”

23 Κατανοησας δε αυτων την πανουργιαν ειπεν προς αυτους: “Τί με πειραζετε?[19] 24 Επιδειξατε[20] μοι δηναριον. Τίνος εχει εικονα και επιγραφην?” Αποκριθεντες[1] δε ειπον,

---

[1] ανθρωπος **f35** אB(C,D) [90%] lat,cop,CP,RP,HF || ανθρωπος τις A,W [10%] syr,TR[NU]

[2] εξεδοτο **f35** [95%] CP,RP,HF,TR,UBS || εξεδετο אA,B,C [5%] N-A (One of the rare places where UBS and N-A are not the same.)

[3] εν **f35** A,C [97%] CP,RP,HF,TR || --- אB [3%] NU

[4] δωσιν **f35** C [95%] CP,RP,HF,TR || δωσουσιν אA,B [5%] NU

[5] δηραντες **f35** [20%] || δειραντες אA,B,C [80%] CP,RP,HF,TR,NU (Is the verb δαιρω or δερω? By far the more common, the literal meaning of δερω is to skin or flay a dead animal, to beat or whip being a derived meaning. Some have doubted the independent existence of δαιρω, but it occurs in Hermas, *sim.*6.2.6 [2nd cent.]. The meaning is presumably ‘to beat severely’. That many copyists might change an unfamiliar form to a closely related familiar one is not hard to imagine, but who would change a familiar one to an unfamiliar one?)

[6] δηραντες αυτον εξαπεστειλαν **f35** A,C [97%] CP,RP,HF,TR || ~ 321 אB [3%] NU

[7] πεμψαι ετερον **f35** C [95%] CP,RP,HF,TR || ~ 21 אA,B [5%] NU

[8] δηραντες **f35** [20%] || δειραντες אA,B,C [80%] CP,RP,HF,TR,NU

[9] πεμψαι τριτον **f35** A,C [97%] CP,RP,HF,TR || ~ 21 אB [3%] NU

[10] ιδοντες **f35** A [95%] CP,RP,HF,TR || --- אB,C [5%] NU

[11] εαυτους **f35** A,C [97%] CP,RP,HF,TR || αλληλους אB [3%] NU

[12] δευτε **f35** אC [97%] CP,RP,HF,TR || --- A,B [3%] NU

[13] εκβαλοντες **f35** [25%] [εκβαλλοντες 204,1247 [5%]] || 1 αυτον אA,B,C [70%] CP,RP,HF,TR,NU

[14] αρχιερεις και οι γραμματεις **f35** א [95%] CP,RP,HF,TR || ~ 4231 A,B [5%] NU || γραμματεις και οι φαρισαιοι C

[15] εφοβηθησαν **f35** [70%] CP,RP,HF || εφοβηθησαν τον λαον אA,B,C,D [30%] TR,NU

[16] την παραβολην ταυτην ειπεν **f35** A,C [97%] CP,RP,HF,TR || ~ 4123 אB [3%] NU

[17] εις το **f35** A [95%] (CP)RP,HF,TR || ωστε אB,C [5%] NU

[18] ημιν **f35** C [95%] CP,RP,HF,TR || ημας אA,B [5%] NU

[19] τι με πειραζετε **f35** A,C [97%] CP,RP,HF,TR || --- אB [3%] NU

[20] επιδειξατε **f35** C [95%] CP,RP,HF,TR || δειξατε אA,B [5%] NU

"Καισαρος." 25 Ὁ δε ειπεν αυτοις,[2] "Αποδοτε τοινυν[3] τα Καισαρος Καισαρι, και τα του
Θεου τω Θεω." 26 Και ουκ ισχυσαν επιλαβεσθαι αυτου ῥηματος εναντιον του λαου. Και
θαυμασαντες επι τη αποκρισει αυτου, εσιγησαν.

[Sadducees deny resurrection]

**27** Προσελθοντες δε τινες των Σαδδουκαιων, οἱ αντιλεγοντες[4] αναστασιν μη ειναι,
επηρωτησαν αυτον 28 λεγοντες: "Διδασκαλε, Μωσης[5] εγραψεν ἡμιν, εαν τινος αδελφος
αποθανη εχων γυναικα και οὑτος ατεκνος αποθανη,[6] ἱνα ὁ αδελφος αυτου λαβη[7] την γυναικα
και εξαναστηση[8] σπερμα τω αδελφω αυτου. 29 Ἑπτα ουν αδελφοι ησαν, και ὁ πρωτος λαβων
γυναικα απεθανεν ατεκνος· 30 και ελαβεν[9] ὁ δευτερος την γυναικα, και οὑτος απεθανεν
ατεκνος.[10] 31 Και ὁ τριτος ελαβεν αυτην.[11] Ὡσαυτως δε και οἱ ἑπτα[12] ου κατελιπον τεκνα,
και απεθανον. 32 Ὑστερον δε παντων[13] απεθανεν και ἡ γυνη.[14] 33 Εν τη ουν[15] αναστασει,
τινος αυτων γινεται γυνη? Οἱ γαρ ἑπτα εσχον αυτην γυναικα."

34 Και αποκριθεις[16] ειπεν αυτοις ὁ Ιησους: "Οἱ υἱοι του αιωνος τουτου γαμουσιν
και εκγαμισκονται·[17] 35 οἱ δε καταξιωθεντες του αιωνος εκεινου τυχειν και της αναστασεως
της εκ νεκρων ουτε γαμουσιν ουτε εκγαμιζονται·[18] 36 Ουτε[19] γαρ αποθανειν ετι δυνανται,
ισαγγελοι γαρ εισιν, και υἱοι εισιν του[20] Θεου, της αναστασεως υἱοι οντες. 37 Ὁτι δε
εγειρονται οἱ νεκροι, και Μωυσης[21] εμηνυσεν επι της βατου, ὡς λεγει, 'Κυριον τον Θεον
Ἀβρααμ και τον[22] Θεον Ισαακ και τον[23] Θεον Ιακωβ.' 38 Θεος δε ουκ εστιν νεκρων αλλα
ζωντων, παντες γαρ αυτω ζωσιν." 39 Αποκριθεντες δε τινες των γραμματεων ειπον,
"Διδασκαλε, καλως ειπας." 40 Ουκετι δε[24] ετολμων επερωταν αυτον ουδεν.

[Is the Christ David's Son?]

**41** Ειπεν δε προς αυτους: "Πως λεγουσιν τον Χριστον Υἱον Δαυιδ ειναι?[25] 42 Και
αυτος[26] Δαυιδ λεγει εν Βιβλω Ψαλμων, 'Ειπεν ὁ[27] Κυριος τω Κυριω μου: Καθου εκ δεξιων
μου 43 ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.' 44 Δαυιδ ουν Κυριον αυτον
καλει, και πως Υἱος αυτου[28] εστιν?"

[Jesus denounces the scribes]

---

[1] αποκριθεντες **f35** A,C [97%] CP,RP,HF,TR || οι ℵB [3%] NU
[2] αυτοις **f35** A,C [97%] CP,RP,HF,TR || προς αυτους ℵB [3%] NU
[3] αποδοτε τοινυν **f35** A,C [97%] CP,RP,HF,TR || ~ 21 ℵB [3%] NU
[4] αντιλεγοντες **f35** A,W (94.3%) CP,RP,HF,TR[NU] || λεγοντες ℵB,C,D (5.4%) || three other variants (0.3%)
[5] μωσης *rell* || μωυσης [50%] CP
[6] αποθανη **f35** A [95%] CP,RP,HF,TR || η B [5%] NU || ℵ omits whole line
[7] ο αδελφος αυτου λαβη **f35** [20%] || ~ 4123 A,B,D [80%] CP,RP,HF,TR,NU || ℵ omits whole line
[8] εξαναστηση **f35** ℵB,D [70%] CP,RP,HF,TR,NU || εξαναστησει A,W,66,204,2399 [30%]
[9] ελαβεν **f35** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[10] την γυναικα και ουτος απεθανεν ατεκνος **f35** A,W [95%] CP,RP,HF,TR || --- ℵB,D [5%] NU
[11] αυτην **f35** ℵB [40%] CP,RP,HF,TR,NU || αυτην ωσαυτως A [60%]
[12] επτα **f35** ℵA,B,D [70%] CP,RP,HF,TR,NU || επτα και [30%]
[13] δε παντων **f35** A,W [77%] CP,RP,HF,TR || 2 [20%] || 1 [2%] || 1 και [0.5%] || και ℵB,D [0.5%] NU
[14] απεθανεν και η γυνη **f35** A [95%] CP,RP,HF,TR || ~ 2341 ℵB [5%] NU
[15] εν τη ουν **f35** A [95%] CP,RP,HF,TR || 12 ℵ || η γυνη ουν εν τη B [5%] NU
[16] αποκριθεις **f35** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[17] εκγαμισκονται **f35** [95%] CP,RP,HF,TR || εκγαμιζονται A [1%] || γαμισκονται ℵB [4%] NU
[18] εκγαμιζονται **f35** A [75%] CP,RP,HF || εκγαμισκονται [20%] TR || γαμιζονται ℵD [5%] NU || γαμισκονται B
[19] ουτε **f35** ℵ [95%] CP,RP,HF,TR || ουδε A,B [5%] NU
[20] του **f35** [95%] CP,RP,HF,TR || --- ℵA,B [5%] NU
[21] μωυσης **f35** B,D [50%] CP,NU || μωσης ℵB [50%] RP,HF,TR
[22] τον **f35** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[23] τον **f35** A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[24] δε **f35** A [95%] CP,RP,HF,TR || γαρ ℵB [5%] NU
[25] υιον δαυιδ ειναι **f35** A [95%] CP,RP,HF,TR || ~ 321 ℵB [5%] NU
[26] και αυτος **f35** A [95%] CP,RP,HF,TR || αυτος γαρ ℵB [5%] NU
[27] ο **f35** ℵA [98%] CP,RP,HF,TR || --- B [2%] NU
[28] υιος αυτου **f35** ℵ [95%] CP,RP,HF,TR || ~ 21 A,B [5%] NU

**45** Ακουοντος δε παντος του λαου, ειπεν τοις μαθηταις αυτου:[1] 46 "Προσεχετε απο των γραμματεων των θελοντων περιπατειν εν στολαις και φιλουντων ασπασμους εν ταις αγοραις και πρωτοκαθεδριας εν ταις συναγωγαις και πρωτοκλισιας εν τοις δειπνοις, 47 οἱ κατεσθιουσιν τας οικιας των χηρων, και προφασει μακρα προσευχονται. Οὗτοι ληψονται[2] περισσοτερον κριμα."

[A lesson in giving]

**21.1** Αναβλεψας δε ειδεν τους βαλλοντας τα δωρα αυτων εις το γαζοφυλακιον[3] πλουσιους. 2 Ειδεν δε τινα και[4] χηραν πενιχραν βαλλουσαν εκει δυο λεπτα.[5] 3 Και ειπεν, "Αληθως λεγω ὑμιν ὁτι ἡ χηρα ἡ πτωχη αὑτη[6] πλειον παντων εβαλεν· 4 ἁπαντες[7] γαρ οὑτοι εκ του περισσευοντος αυτοις εβαλον εις τα δωρα του Θεου,[8] αὑτη δε εκ του ὑστερηματος αυτης ἁπαντα[9] τον βιον ὃν ειχεν εβαλεν."

[Jerusalem will be destroyed]

**5** Και τινων λεγοντων περι του ἱερου ὁτι λιθοις καλοις και αναθημασιν κεκοσμηται, ειπεν, 6 "Ταυτα ἃ θεωρειτε—ελευσονται ἡμεραι εν αἷς ουκ αφεθησεται λιθος επι λιθον[10] ὃς ου καταλυθησεται."

## [The Olivet Discourse]

**21.7** Επηρωτησαν δε αυτον λεγοντες: "Διδασκαλε, ποτε ουν ταυτα εσται?" και "Τί το σημειον ὁταν μελλη ταυτα γινεσθαι?" 8 Ὁ δε ειπεν: "Βλεπετε μη πλανηθητε, πολλοι γαρ ελευσονται επι τω ονοματι μου λεγοντες ὁτι[11] 'Ἐγω ειμι' και 'Ὁ καιρος ηγγικεν'. Μη ουν[12] πορευθητε οπισω αυτων. 9 Ὁταν δε ακουσητε πολεμους και ακαταστασιας, μη πτοηθητε· δει γαρ ταυτα γενεσθαι πρωτον, αλλ' ουκ ευθεως το τελος."

*[Things are going to get bad, really bad]*

**10** Τοτε ελεγεν αυτοις: "Ἐγερθησεται εθνος επι[13] εθνος και βασιλεια επι βασιλειαν. 11 Σεισμοι τε μεγαλοι κατα τοπους και[14] λιμοι και λοιμοι εσονται, φοβητρα τε και σημεια απ' ουρανου μεγαλα εσται.[15] 12 Προ δε τουτων ἁπαντων[16] επιβαλουσιν εφ' ὑμας τας χειρας αυτων και διωξουσιν, παραδιδοντες εις[17] συναγωγας και φυλακας, αγομενους[18] επι βασιλεις και ἡγεμονας ἑνεκεν του ονοματος μου. 13 Αποβησεται δε[19] ὑμιν εις μαρτυριον. 14 Θεσθε[20] ουν εις τας καρδιας[21] ὑμων μη προμελεταν απολογηθηναι· 15 εγω γαρ δωσω ὑμιν στομα και

---

[1] αυτου **f**$^{35}$ ℵA [98%] CP,RP,HF,TR[NU] || --- B [2%]

[2] ληψονται *rell* || λημψονται NU

[3] τα δωρα αυτων εις το γαζοφυλακιον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 456123 ℵB [5%] NU

[4] τινα (τιναν A) και **f**$^{35}$ A [70%] CP,RP,HF || ~ 21 [25%] TR || 1 ℵB [5%] NU

[5] δυο λεπτα **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 ℵB [5%] NU

[6] η πτωχη αυτη **f**$^{35}$ A [95%] RP,HF,TR || ~ 312 ℵB [5%] CP,NU

[7] απαντες **f**$^{35}$ A [95%] CP,RP,HF,TR || παντες ℵB [5%] NU

[8] του θεου **f**$^{35}$ A,D,W [98%] CP,RP,HF,TR || --- ℵB [2%] NU

[9] απαντα **f**$^{35}$ A [95%] CP,RP,HF,TR || παντα ℵB [5%] NU

[10] λιθος επι λιθον **f**$^{35}$ W (32.2%) CP || λιθος επι λιθω A (65.1%) RP,HF,TR,NU || λιθος επι λιθων (0.3%) || λιθος επι λιθω ωδε ℵB(D) (0.5%) || λιθος επι λιθον ωδε (0.4%) || ωδε λιθος επι λιθω (0.5%) || ωδε λιθον επι λιθω (0.5%) || ωδε λιθος επι λιθον (0.2%) || two other variants (0.2%)

[11] οτι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU

[12] ουν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU

[13] επι **f**$^{35}$ B [95%] CP,RP,HF,TR || επ ℵA [5%] NU

[14] κατα τοπους και **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 312 ℵB [5%] NU

[15] και (-κ. 0.6%) σημεια (-σ. 0.4%) απ ουρανου (-α. ο. 0.3%) μεγαλα (-μ. A 0.3%) εσται (-ε. 0.2%) **f**$^{35}$ A,W (85.9%) CP,RP,HF,TR || ~ 125346 ℵ (5.8%) || ~ 512346 (1.6%) || ~ 123465 (0.4%) || ~ 125634 (0.2%) || ~ 341256 D (0.2%) || ~ 134256 B (alone) NU [pause and ponder] || 12345 εσωνται (4.3%) || ~ 12534 εσωνται (1%) || five further variants (0.5%)

[16] απαντων **f**$^{35}$ [25%] CP,TR || παντων ℵA,B,D [75%] RP,HF,NU

[17] εις **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εις τας ℵB [5%] NU

[18] αγομενους **f**$^{35}$ A [95%] CP,RP,HF,TR || απαγομενους ℵB [5%] NU

[19] δε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU

[20] θεσθε **f**$^{35}$ [95%] CP,RP,HF,TR || θετε ℵA,B [5%] NU

[21] εις τας καρδιας **f**$^{35}$ [95%] CP,RP,HF,TR || εν ταις καρδιαις ℵA,B [5%] NU

σοφιαν ἣ ου δυνησονται αντειπειν ἡ αντιστηναι[1] παντες[2] οἱ αντικειμενοι ὑμιν.
16 Παραδοθησεσθε δε και ὑπο γονεων και συγγενων και φιλων και αδελφων,[3] και
θανατωσουσιν εξ ὑμων. 17 Και εσεσθε μισουμενοι ὑπο παντων δια το ονομα μου. 18 Και
θριξ εκ της κεφαλης ὑμων ου μη αποληται. 19 Εν τη ὑπομονη ὑμων κτησασθε τας ψυχας
ὑμων.

*[Jerusalem will be destroyed]*

**20** "Ὅταν δε ιδητε κυκλουμενην ὑπο στρατοπεδων την[4] Ἱερουσαλημ τοτε γνωτε ὁτι
ηγγικεν ἡ ερημωσις αυτης. 21 Τοτε οἱ εν τη Ιουδαια φευγετωσαν εις τα ορη, και οἱ εν
μεσω αυτης εκχωρειτωσαν, και οἱ εν ταις χωραις μη εισερχεσθωσαν εις αυτην. 22 Ὁτι
ἡμεραι εκδικησεως αὑται εισιν, του πληρωθηναι[5] παντα τα γεγραμμενα. 23 Ουαι δε[6] ταις εν
γαστρι εχουσαις και ταις θηλαζουσαις εν εκειναις ταις ἡμεραις! Εσται γαρ αναγκη μεγαλη
επι της γης και οργη εν[7] τω λαω τουτω, 24 και πεσουνται στοματι μαχαιρας,[8] και
αιχμαλωτισθησονται εις παντα τα εθνη.[9] Και Ἱερουσαλημ εσται πατουμενη ὑπο εθνων,
αχρι[10] πληρωθωσιν καιροι εθνων.

*[Christ will return to the earth]*

**25** "Και εσται[11] σημεια εν ἡλιω και σεληνη και αστροις, και επι της γης συνοχη
εθνων εν απορια, ηχουσης[12] θαλασσης και σαλου· 26 αποψυχοντων ανθρωπων απο φοβου και
προσδοκιας των επερχομενων τη[13] οικουμενη, αἱ γαρ δυναμεις των ουρανων σαλευθησονται.
27 Και τοτε οψονται τον Υἱον του Ανθρωπου ερχομενον εν νεφελη μετα δυναμεως και
δοξης πολλης. 28 Αρχομενων δε τουτων γινεσθαι, ανακυψατε και επαρατε τας κεφαλας
ὑμων, διοτι εγγιζει ἡ απολυτρωσις ὑμων."

*[Parable of the fig tree]*

**29** Και ειπεν παραβολην αυτοις: "Ιδετε την συκην και παντα τα δενδρα. 30 Ὁταν
προβαλλωσιν[14] ηδη, βλεποντες αφ' ἑαυτων γινωσκετε ὁτι ηδη εγγυς το θερος εστιν. 31
Οὑτως και ὑμεις, ὁταν ιδητε ταυτα γινομενα, γινωσκετε ὁτι εγγυς εστιν ἡ βασιλεια του
Θεου. 32 Αμην λεγω ὑμιν ὁτι ου μη παρελθη ἡ γενεα αὑτη ἑως αν παντα γενηται. 33 Ὁ
ουρανος και ἡ γη παρελευσεται,[15] ὁι δε λογοι μου ου μη παρελθωσιν.[16]

*["Watch and pray"]*

**34** "Προσεχετε δε ἑαυτοις μηποτε βαρηθωσιν[17] ὑμων αἱ καρδιαι εν κραιπαλη και
μεθη και μεριμναις βιωτικαις, και αιφνιδιος εφ' ὑμας επιστη[18] ἡ ἡμερα εκεινη. 35 Ὡς
παγις γαρ επελευσεται[19] επι παντας τους καθημενους επι προσωπον πασης της γης.

---

[1] αντειπειν η αντιστηναι $f^{35}$ A [25%] || ~ 321 ℵB [2%] cop,NU || αντειπειν ουδε αντιστηναι W [73%] sy[h],CP, RP,HF,TR || 3 D,it,sy[p]
[2] παντες $f^{35}$ ℵA,D,W [98%] CP,RP,HF,TR || απαντες B [2%] NU
[3] συγγενων και φιλων και αδελφων $f^{35}$ [60%] CP,RP,HF || ~ 54123 ℵB,D [40%] TR,NU || 54 συγγενεων 23 A
[4] την $f^{35}$ A [95%] CP,RP,HF,TR || --- ℵB [5%] NU
[5] πληρωθηναι $f^{35}$ C [70%] CP,TR || πλησθηναι ℵA,B,D [30%] RP,HF,NU
[6] δε $f^{35}$ ℵA,C [98%] CP,RP,HF,TR || --- B [2%] NU
[7] εν $f^{35}$ [95%] CP,RP,HF,TR || --- ℵA,B,C [5%] NU
[8] μαχαιρας $f^{35}$ ℵA,C [98%] CP,RP,HF,TR || μαχαιρης B [2%] NU
[9] παντα τα εθνη $f^{35}$ A,C [95%] CP,RP,HF,TR || ~ 231 ℵB [5%] NU
[10] αχρι $f^{35}$ A [95%] CP,RP,HF,TR || αχρι ου ℵB,C [5%] NU
[11] εσται $f^{35}$ A,C [97%] CP,RP,HF,TR || εσονται ℵB [3%] NU
[12] ηχουσης $f^{35}$ [95%] CP,RP,HF,TR || ηχους ℵA,B,C [5%] NU
[13] τη *rell* || εν τη CP
[14] προβαλλωσιν $f^{35}$ [25%] || προβαλωσιν ℵA,B,C,D [75%] CP,RP,HF,TR,NU
[15] παρελευσεται $f^{35}$ C [30%] || παρελευσονται ℵA,B [70%] CP,RP,HF,TR,NU
[16] παρελθωσιν $f^{35}$ A,C [97%] CP,RP,HF,TR || παρελευσονται ℵB [3%] NU
[17] βαρηθωσιν $f^{352/3}$ ℵA,B,C [70%] CP,RP,HF,NU || βαρυνθωσιν D [25%] TR || βαρυθωσιν $f^{351/3}$ [5%]
[18] αιφνιδιος εφ υμας επιστη $f^{35}$ (C) [95%] CP,RP,HF,TR || ~ 4231 (ℵ)B [5%] NU || ~ 1423 (A)
[19] γαρ επελευσεται $f^{35}$ A,C,W [97%] syr,Diat,CP,RP,HF,TR || επεισελευσεται γαρ ℵB,D [3%] cop,NU

36 Αγρυπνειτε ουν[1] εν παντι καιρω δεομενοι ἱνα καταξιωθητε[2] εκφυγειν παντα[3] τα
μελλοντα γινεσθαι, και σταθηναι εμπροσθεν του Υἱου του Ανθρωπου.”

[His daily routine]

**37** Ἠν δε τας ἡμερας εν τω ἱερω διδασκων, τας δε νυκτας εξερχομενος ηυλιζετο εις
το ορος το καλουμενον Ελαιων. 38 Και πας ὁ λαος ωρθριζεν προς αυτον εν τω ἱερω
ακουειν αυτου.

*[Judas joins the plot against Jesus]*

**22.1** Ηγγιζεν δε ἡ ἑορτη των αζυμων ἡ λεγομενη Πασχ᾽α. 2 Και εζητουν οἱ
αρχιερεις και οἱ γραμματεις το πως ανελωσιν αυτον, εφοβουντο γαρ τον λαον. 3 Εισηλθεν
δε ὁ[4] Σατανας εις Ιουδαν τον επικαλουμενον[5] Ισκαριωτην, οντα εκ του αριθμου των δωδεκα.
4 Και απελθων συνελαλησεν τοις αρχιερευσιν και[6] στρατηγοις το πως αυτον παραδω
αυτοις.[7] 5 Και εχαρησαν, και συνεθεντο αυτω αργυρια[8] δουναι. 6 Και εξωμολογησεν και
εζητει ευκαιριαν του παραδουναι αυτον αυτοις ατερ οχλου.[9]

*[Preparation for the last Passover]*

**7** Ηλθεν δε ἡ ἡμερα των αζυμων, εν[10] ᾗ εδει θυεσθαι το Πασχ᾽α. 8 Και απεστειλεν
Πετρον και Ιωαννην ειπων, “Πορευθεντες ἑτοιμασατε ἡμιν το Πασχ᾽α ἱνα φαγωμεν.” 9 Οἱ
δε ειπον αυτω, “Που θελεις ἑτοιμασομεν?”[11] 10 Ὁ δε ειπεν αυτοις: “Ιδου, εισελθοντων ὑμων
εις την πολιν συναντησει ὑμιν ανθρωπος κεραμιον ὑδατος βασταζων· ακολουθησατε αυτω
εις την οικιαν οὗ[12] εισπορευεται. 11 Και ερειτε τω οικοδεσποτη της οικιας, ‘Λεγει σοι ὁ
Διδασκαλος: Που εστιν το καταλυμα ὁπου το Πασχα μετα των μαθητων μου φαγω?’
12 Κακεινος ὑμιν δειξει αναγαιον[13] μεγα εστρωμενον· εκει ἑτοιμασατε.” 13 Απελθοντες δε
εὑρον καθως ειρηκεν[14] αυτοις, και ἡτοιμασαν το Πασχα.

*[They eat the Passover]*

**14** Και ὁτε εγενετο ἡ ὡρα, ανεπεσεν, και οἱ δωδεκα[15] αποστολοι συν αυτω. 15 Και
ειπεν προς αυτους: “Επιθυμια επεθυμησα τουτο το Πασχα φαγειν μεθ᾽ ὑμων προ του με
παθειν. 16 Λεγω γαρ ὑμιν ὁτι ουκετι[16] ου μη φαγω εξ αυτου[17] ἑως ὁτου πληρωθη εν τη
βασιλεια του Θεου.” 17 Και δεξαμενος ποτηριον ευχαριστησας ειπεν: “Λαβετε τουτο και
διαμερισατε ἑαυτοις.[18] 18 Λεγω γαρ ὑμιν ὁτι[19] ου μη πιω[20] απο του γεννηματος[21] της
αμπελου ἑως ὁτου[22] ἡ βασιλεια του Θεου ελθη.”

*[Jesus institutes the Lord’s Supper]*

---

[1] ουν **f**$^{35}$ A,C,W [97%] CP,RP,HF,TR || δε ℵB,D [1%] NU || --- [2%]
[2] καταξιωθητε **f**$^{35}$ (A)C,D [97%] CP,RP,HF,TR || κατισχυσητε ℵ(B)T(W) [3%] NU
[3] παντα **f**$^{35}$ ℵ [70%] CP,RP,HF || ταυτα παντα B [25%] TR,NU || παντα ταυτα A,C [5%]
[4] ο **f**$^{35}$ [40%] TR || --- ℵA,B,C,D [60%] CP,RP,HF,NU
[5] επικαλουμενον **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || καλουμενον ℵB,D,W [3%] NU
[6] και **f**$^{35}$ ℵA,B(D) [75%] RP,HF,NU || και τοις C [25%] CP,TR
[7] αυτον παραδω αυτοις **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 321 ($P^{75v}$)ℵB,C [5%] NU
[8] αργυρια **f**$^{35}$ A,C [45%] || αργυριον ℵB,D [55%] CP,RP,HF,TR,NU
[9] αυτοις ατερ οχλου **f**$^{35}$ W [95%] CP,RP,HF,TR || ~ 231 ($P^{75v}$)ℵA,B,C [5%] NU || 23 D
[10] εν **f**$^{35}$ ℵA,W [97%] CP,RP,HF,TR[NU] || --- $P^{75v}$B,C,D [3%]
[11] ετοιμασομεν [60%] CP,RP,HF || ετοιμασωμεν ℵA,B,C [40%] TR,NU
[12] ου **f**$^{35}$ [95%] CP,RP,HF,TR || ου εαν A [2%] || εις ην ℵB,C [3%] NU
[13] αναγαιον **f**$^{35}$ ℵA,B,D [30%] NU || ανωγεον [60%] RP,HF,TR || ανωγαιον 204 [10%] CP || αναγεον C,W (If the first two readings are the basic forms, the last two could be conflations, in opposite directions.)
[14] ειρηκεν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ειρηκει $P^{75}$ℵB,C [5%] NU
[15] δωδεκα **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [3%] NU
[16] ουκετι **f**$^{35}$ (C,D)W [95%] CP,RP,HF,TR || --- $P^{75v}$ℵA,B [5%] NU
[17] εξ αυτου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || αυτο ℵB [5%] NU
[18] εαυτοις **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εις εαυτους B,C [5%] NU || αλληλοις ℵ
[19] οτι **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR[NU] || --- B,C [3%]
[20] πιω **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || πιω απο του νυν ℵB [3%] NU
[21] γεννηματος **f**$^{35}$ [40%] TR || γενηματος $P^{75}$ℵA,B,C,D,W,83,479,2399 [60%] CP,RP,HF,NU
[22] οτου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ου ℵB,$C^{v}$ [5%] NU

**19** Και λαβων αρτον, ευχαριστησας εκλασεν και εδωκεν αυτοις λεγων, “Τουτο εστιν
το σωμα μου, το ὑπερ ὑμων διδομενον· τουτο ποιειτε εις την εμην αναμνησιν.” 20 Ὡσαυτως
και το ποτηριον,[1] μετα το δειπνησαι, λεγων: “Τουτο το ποτηριον ἡ καινη διαθηκη εν τω
αἱματι μου, το ὑπερ ὑμων εκχυνομενον.[2]

[The betrayer is present]

**21** “Πλην ιδου, ἡ χειρ του παραδιδοντος με μετ’ εμου επι της τραπεζης. 22 Και[3] ὁ
μεν Υἱος[4] του Ανθρωπου πορευεται κατα το ὡρισμενον,[5] πλην ουαι τω ανθρωπω εκεινω δι’
οὗ παραδιδοται!” 23 (Και αυτοι ηρξαντο συζητειν προς ἑαυτους το τίς αρα ειη εξ αυτων ὁ
τουτο μελλων πρασσειν.)

*[Wanting to be ‘the greatest’ is not a valid option]*

**24** Εγενετο δε και φιλονεικια εν αυτοις το τίς αυτων δοκει ειναι μειζων. 25 Ὁ δε
ειπεν αυτοις: “‘Οἱ βασιλεις των εθνων κυριευουσιν αυτων και οἱ εξουσιαζοντες αυτων
ευεργεται καλουνται. 26 Ὑμεις δε ουχ[6] οὕτως· αλλ’ ὁ μειζων εν ὑμιν γενεσθω[7] ὡς ὁ
νεωτερος, και ὁ ἡγουμενος ὡς ὁ διακονων. 27 Τίς γαρ μειζων, ὁ ανακειμενος ἢ ὁ
διακονων? Ουχ[8] ὁ ανακειμενος? Εγω δε ειμι εν μεσω ὑμων[9] ὡς ὁ διακονων. 28 Ὑμεις δε
εστε οἱ διαμεμενηκοτες μετ’ εμου εν τοις πειρασμοις μου. 29 Καγω διατιθεμαι ὑμιν, καθως
διεθετο μοι ὁ Πατηρ μου, βασιλειαν, 30 ἱνα εσθιητε[10] και πινητε επι της τραπεζης μου εν
τη βασιλεια μου,[11] και καθισεσθε[12] επι θρονων κρινοντες τας δωδεκα φυλας[13] του Ισραηλ.”

*[Peter will deny Him]*

**31** Ειπεν δε ὁ Κυριος:[14] “Σιμων, Σιμων, ιδου ὁ Σατανας εξητησατο ὑμας του
σινιασαι ὡς τον σιτον. 32 Εγω δε εδεηθην περι σου ἱνα μη εκλιπη[15] ἡ πιστις σου· και συ
ποτε επιστρεψας στηριξον[16] τους αδελφους σου.” 33 Ὁ δε ειπεν αυτω, “Κυριε, μετα σου
ἑτοιμος ειμι και εις φυλακην και εις θανατον πορευεσθαι.” 34 Ὁ δε ειπεν, “Λεγω σοι,
Πετρε, ου μη[17] φωνηση[18] σημερον αλεκτωρ πριν ἢ[19] τρις απαρνηση μη ειδεναι με.”[20]

*[“Buy a sword”]*

**35** Και ειπεν αυτοις, “‘Ὅτε απεστειλα ὑμας ατερ βαλαντιου[21] και πηρας και
ὑποδηματων, μη τινος ὑστερησατε?” Οἱ δε ειπον, “Ουδενος.”[22] 36 Ειπεν ουν[23] αυτοις: “Αλλα
νυν ὁ εχων βαλαντιον[24] αρατω, ὁμοιως και πηραν· και ὁ μη εχων πωλησει[25] το ἱματιον

---

[1] ωσαυτως και το ποτηριον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 2341 P$^{75v}$ℵB [5%] NU
[2] εκχυνομενον **f**$^{35}$ [95%] CP,RP,HF,TR || εκχυννομενον ℵA,B [5%] NU
[3] και **f**$^{35}$ A [95%] CP,RP,HF,TR || οτι P$^{75}$ℵB,C [5%] NU
[4] μεν υιος **f**$^{35}$ A [95%] CP,RP,HF,TR || 2 ℵ || ~ 21 P$^{75v}$B [5%] NU
[5] πορευεται κατα το ωρισμενον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 2341 ℵB [5%] NU || ~ 241 P$^{75v}$
[6] ουχ *rell* || ουκ CP
[7] γενεσθω **f**$^{35}$ A [95%] CP,RP,HF,TR || γινεσθω ℵB [5%] NU
[8] ουχ **f**$^{35}$ [25%] || ουχι P$^{75}$ℵA,B,D [75%] CP,RP,HF,TR,NU
[9] ειμι εν μεσω υμων **f**$^{35}$ (A) [95%] CP,RP,HF,TR || ~ 2341 P$^{75}$ℵB [5%] NU
[10] εσθιητε **f**$^{35}$ (ℵ)A [97%] CP,RP,HF,TR || εσθητε P$^{75}$B [3%] NU
[11] εν τη βασιλεια μου **f**$^{35}$ P$^{75}$ℵA,B,C [70%] CP,RP,HF,TR,NU || --- [30%]
[12] καθισεσθε **f**$^{35}$ [70%] CP,RP,HF || καθησεσθε ℵW [20%] NU || καθισησθε 66,2399 [9%] TR || καθησθε B,T || καθησεσθαι A,Q,W [0.5%] || καθεζησθε D || two other variants
[13] κρινοντες τας δωδεκα φυλας **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || ~ 2341 P$^{75}$B [3%] NU
[14] ειπεν δε ο κυριος **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || --- P$^{75}$B [3%] NU
[15] εκλιπη **f**$^{35}$ ℵB,D [50%] RP,HF,NU || εκλειπη A [50%] CP,TR
[16] στηριξον **f**$^{35}$ [95%] CP,RP,HF,TR || στηρισον ℵA,B [5%] NU
[17] μη **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75v}$ℵB [5%] NU
[18] φωνηση **f**$^{35}$ [60%] CP,RP,HF || φωνησει ℵA,B,D [40%] TR,NU
[19] πριν η **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εως ℵB [5%] NU
[20] απαρνηση μη ειδεναι με **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 413 ℵB [5%] NU
[21] βαλαντιου **f**$^{35}$ [60%] RP,HF,TR || βαλλαντιου P$^{75v}$ℵA,B,D [40%] CP,NU
[22] ουδενος **f**$^{35}$ ℵD [40%] CP,TR || ουθενος P$^{75}$A,B [60%] RP,HF,NU
[23] ειπεν ουν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ειπεν δε P$^{75}$B [4%] NU || ο δε ειπεν ℵ [1%]
[24] βαλαντιον **f**$^{35}$ [55%] RP,HF,TR || βαλλαντιον ℵA,B,D [45%] CP,NU
[25] πωλησει **f**$^{35}$ [60%] CP,RP,HF || πωλησατω P$^{75v}$ℵA,B [40%] TR,NU

αυτου και αγορασει[1] μαχαιραν. 37 Λεγω γαρ ὑμιν ὁτι ετι[2] τουτο το γεγραμμενον δει τελεσθηναι εν εμοι, το 'Και μετα ανομων ελογισθη'. Και γαρ τα[3] περι εμου τελος εχει." 38 Οἱ δε ειπον, "Κυριε, ιδου μαχαιραι ὡδε δυο." Ὁ δε ειπεν αυτοις, "Ικανον εστιν."

*[Gethsemane]*

**39** Και εξελθων επορευθη κατα το εθος εις το Ορος των Ελαιων· ηκολουθησαν δε αυτω και οἱ μαθηται αυτου.[4] 40 Γενομενος δε επι του τοπου ειπεν αυτοις, "Προσευχεσθε μη εισελθειν εις πειρασμον." 41 Και αυτος απεσπασθη απ' αυτων ὡσει λιθου βολην, και θεις τα γονατα προσηυχετο 42 λεγων, "Πατερ, ει βουλει παρενεγκειν[5] το ποτηριον τουτο[6] απ' εμου—πλην μη το θελημα μου αλλα το σον γενεσθω."[7] 43 Ωφθη δε αυτω αγγελος απ' ουρανου ενισχυων αυτον. 44 Και γενομενος εν αγωνια εκτενεστερον προσηυχετο· εγενετο δε[8] ὁ ἱδρως[9] αυτου ὡσει θρομβοι αἱματος καταβαινοντες επι την γην.[10] 45 Και αναστας απο της προσευχης, ελθων προς τους μαθητας[11] εὑρεν αυτους κοιμωμενους[12] απο της λυπης. 46 Και ειπεν αυτοις: "Τί καθευδετε? Ανασταντες προσευχεσθε, ἱνα μη εισελθητε εις πειρασμον."

*[Betrayal and arrest]*

**47** Ετι δε[13] αυτου λαλουντος, ιδου οχλος, και ὁ λεγομενος Ιουδας, εἱς των δωδεκα, προηρχετο αυτους[14] και ηγγισεν τω Ιησου φιλησαι αυτον (τουτο γαρ σημειον δεδωκει αυτοις, "'Ὃν αν φιλησω, αυτος εστιν').[15] 48 Ὁ δε Ιησους[16] ειπεν αυτω, "Ιουδα, φιληματι τον Υἱον του Ανθρωπου παραδιδως?"

49 Ιδοντες δε οἱ περι αυτον το εσομενον ειπον αυτω,[17] "Κυριε, ει παταξομεν εν μαχαιρα?"[18] 50 Και επαταξεν εἱς τις εξ αυτων τον δουλον του αρχιερεως[19] και αφειλεν αυτου το ους[20] το δεξιον. 51 Αποκριθεις δε ὁ Ιησους ειπεν, "Εατε ἑως τουτου·" και ἁψαμενος του ωτιου αυτου[21] ιασατο αυτον.

52 Ειπεν δε ὁ[22] Ιησους προς τους παραγενομενους προς[23] αυτον αρχιερεις και στρατηγους του ἱερου και πρεσβυτερους: "'Ὡς επι ληστην εξεληλυθατε[24] μετα μαχαιρων και ξυλων? 53 Καθ' ἡμεραν οντος μου μεθ' ὑμων εν τω ἱερω ουκ εξετεινατε τας χειρας επ' εμε. Αλλα[25] αὑτη ὑμων εστιν[26] ἡ ὡρα, και ἡ εξουσια του σκοτους."

*[Peter denies Jesus]*

---

[1] αγορασει $\mathbf{f}^{35}$ D [70%] CP,RP,HF || αγορασατω $P^{75v}$ℵA,B [30%] TR,NU

[2] ετι $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || --- ℵA,B [5%] NU

[3] τα $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || το ℵB [5%] NU

[4] αυτου $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵA,B [5%] NU

[5] παρενεγκειν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || παρενεγκε $P^{75}$B [4%] NU || παρενεγκαι ℵ [1%]

[6] το ποτηριον τουτο $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 312 $P^{75}$B [4%] NU || ~ 3123 ℵ [1%]

[7] γενεσθω $\mathbf{f}^{35}$ $P^{69}$D [70%] CP,RP,HF,TR || γινεσθω $P^{75}$ℵA,B [30%] NU

[8] εγενετο δε $\mathbf{f}^{35}$ D [95%] CP,RP,HF,TR || και εγενετο ℵ [3.7%] NU || omit verses 43-44 $P^{75}$A,B,T,W (1.3%)

[9] ιδρως *rell* || υδρως CP

[10] have verses 43-44 $\mathbf{f}^{35}$ (ℵ)D (98.7%) lat,syr,Diat,CP,RP,HF,TR[NU] || omit verses 43-44 $P^{75}$A,B,T,W (1.3%) cop

[11] μαθητας $\mathbf{f}^{35}$ $P^{75}$ℵA,B [95%] CP,RP,HF,NU || μαθητας αυτου [5%] TR

[12] αυτους κοιμωμενους $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$ℵB [5%] NU

[13] δε $\mathbf{f}^{35}$ [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵA,B [5%] NU

[14] αυτους $\mathbf{f}^{35}$ $P^{69,75}$ℵA,B,D [80%] CP,RP,HF,NU || αυτων [20%] TR

[15] τουτο γαρ σημειον δεδωκει αυτοις ον αν φιλησω αυτος εστιν $\mathbf{f}^{35}$ (D) [40%] CP || --- $P^{75}$ℵA,B [60%] RP,HF,TR,NU

[16] ο δε ιησους $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 32 $P^{75}$ℵB [5%] NU

[17] αυτω $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

[18] μαχαιρα $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || μαχαιρη $P^{75}$ℵB [5%] NU

[19] τον δουλον του αρχιερεως $\mathbf{f}^{35}$ $P^{75}$A [95%] CP,RP,HF,TR || ~ 3412 ℵB [5%] NU

[20] αυτου το ους $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 231 $P^{75}$ℵB [5%] NU

[21] αυτου $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

[22] ο ιησους $\mathbf{f}^{35}$ W [95%] CP,RP,HF,TR || 2 $P^{75}$ℵA,B,T [4%] NU || --- D [1%]

[23] προς $\mathbf{f}^{35}$ ℵ [25%] CP || επ $P^{75}$A,B,D [75%] RP,HF,TR,NU

[24] εξεληλυθατε $\mathbf{f}^{35}$ A [87%] CP,RP,HF,TR || εξηλθατε $P^{75}$(ℵ)B,D [3%] NU || εξηλθετε [10%]

[25] αλλα $\mathbf{f}^{35}$ D [50%] || αλλ $P^{75}$ℵA,B [50%] CP,RP,HF,TR,NU

[26] υμων εστιν $\mathbf{f}^{35}$ A [95%] CP,RP,HF,TR || ~ 21 $P^{75}$B [3%] NU || 2 ℵ [2%]

**54** Συλλαβοντες δε αυτον ηγαγον και εισηγαγον[1] εις τον οικον[2] του αρχιερεως· ὁ δε Πετρος ηκολουθει μακροθεν. 55 Ἁψαντων[3] δε πυρ εν μεσω της αυλης και συγκαθισαντων αυτων,[4] εκαθητο ὁ Πετρος εν μεσω[5] αυτων. 56 Ιδουσα δε αυτον παιδισκη τις καθημενον προς το φως και ατενισασα αυτω ειπεν, "Και οὑτος συν αυτω ἠν." 57 Ὁ δε ηρνησατο αυτον[6] λεγων, "Γυναι, ουκ οιδα αυτον."[7]

58 Και μετα βραχυ ἑτερος ιδων αυτον εφη, "Και συ εξ αυτων εἶ." Ὁ δε Πετρος ειπεν,[8] "Ανθρωπε, ουκ ειμι!" 59 Και διαστασης ὡσει ὡρας μιας, αλλος τις διισχυριζετο λεγων, "Επ' αληθειας και οὑτος μετ' αυτου ἠν, και γαρ Γαλιλαιος εστιν." 60 Ειπεν δε ὁ Πετρος, "Ανθρωπε, ουκ οιδα ὃ λεγεις!" Και παραχρημα, ετι λαλουντος αυτου, εφωνησεν[9] αλεκτωρ.

61 Και στραφεις ὁ Κυριος ενεβλεψεν τω πετρω, και ὑπεμνησθη ὁ Πετρος του λογου[10] του Κυριου, ὡς ειπεν αυτω ὁτι "Πριν αλεκτορα φωνησαι[11] απαρνηση με τρις." 62 Και εξελθων εξω[12] εκλαυσεν πικρως.

*[Guards mistreat Jesus]*

**63** Και οἱ ανδρες οἱ συνεχοντες τον Ιησουν[13] ενεπαιζον αυτω, δαιροντες.[14] 64 Και περικαλυψαντες αυτον, ετυπτον αυτου το προσωπον και επηρωτων αυτον[15] λεγοντες: "Προφητευσον! Τίς εστιν ὁ παισας σε?" 65 Και ἑτερα πολλα βλασφημουντες ελεγον εις αυτον.

*[Jesus judged by the Council]*

**66** Και ὡς εγενετο ἡμερα, συνηχθη το πρεσβυτεριον του λαου, αρχιερεις τε[16] και γραμματεις, και απηγαγον[17] αυτον εις το συνεδριον αυτων,[18] λεγοντες, 67 "Ει συ εἶ ὁ Χριστος, ειπε[19] ἡμιν." Ειπεν δε αυτοις: "Εαν ὑμιν ειπω, ου μη πιστευσητε. 68 Εαν δε και[20] ερωτησω, ου μη αποκριθητε μοι ἡ απολυσητε.[21] 69 Απο του νυν[22] εσται ὁ Υἱος του Ανθρωπου καθημενος εκ δεξιων της δυναμεως του Θεου." 70 Ειπον δε παντες, "Συ ουν εἶ ὁ Υἱος του Θεου?" Ὁ δε προς αυτους εφη, "'Ὑμεις λεγετε ὁτι εγω ειμι." 71 Οἱ δε ειπον: "Τί ετι χρειαν εχομεν μαρτυριας?[23] Αυτοι γαρ ηκουσαμεν απο του στοματος αυτου!"

*[Jesus taken to Pontius Pilate]*

---

[1] εισηγαγον **f**$^{35}$ $P^{75}$ℵB(D) [30%] CP,NU || εισηγαγον αυτον A [70%] RP,HF,TR
[2] τον οικον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || την οικιαν $P^{75}$ℵB [5%] NU
[3] αψαντων **f**$^{35}$ A [95%] CP,RP,HF,TR || περιαψαντων $P^{75}$ℵB [5%] NU
[4] αυτων **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[5] εν μεσω **f**$^{35}$ ℵ(A) [97%] CP,RP,HF,TR || μεσος $P^{75}$B [3%] NU
[6] αυτον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[7] γυναι ουκ οιδα αυτον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 2341 $P^{75}$ℵB [5%] NU
[8] ειπεν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εφη $P^{75}$ℵB [5%] NU
[9] εφωνησεν **f**$^{35}$ $P^{75}$ℵA,B,D [99%] CP,RP,HF,NU || εφωνησεν ο [1%] TR
[10] λογου **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ρηματος $P^{75}$ℵB [5%] NU
[11] φωνησαι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || φωνησαι σημερον $P^{75}$ℵB [5%] NU
[12] εξω **f**$^{35}$ $P^{75}$ℵB,D [40%] NU || εξω ο πετρος A [60%] CP,RP,HF,TR
[13] τον ιησουν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || αυτον $P^{75}$ℵB [5%] NU
[14] δαιροντες **f**$^{35}$ [25%] || δεροντες $P^{75}$ℵA,B [75%] CP,RP,HF,TR,NU
[15] αυτον ετυπτον αυτου το προσωπον και επηρωτων αυτον **f**$^{35}$ (A) [95%] CP,RP,HF,TR || αυτον επηρωτων $P^{75}$B [3%] NU || επηρωτων αυτον ℵ [2%]
[16] τε **f**$^{35}$ $P^{75}$ℵA,B,D [60%] CP,TR,NU || --- [40%] RP,HF
[17] απηγαγον **f**$^{35}$ $P^{75}$ℵB,D [25%] CP,NU || ανηγαγον A [75%] RP,HF,TR
[18] αυτων **f**$^{35}$ $P^{75}$ℵB,D [70%] CP,RP,HF,NU || εαυτων A [30%] TR
[19] ειπε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ειπον ℵB [5%] NU
[20] και **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU
[21] μοι η απολυσητε **f**$^{35}$ A,D,W (95.1%) lat,syr,Diat,CP,RP,HF,TR || 23 (2.4%) || 1 (1.6%) sa || --- $P^{75}$ℵB,T (0.4%) bo,NU
[22] νυν **f**$^{35}$ [95%] CP,RP,HF,TR || νυν δε $P^{75}$ℵA,B [5%] NU
[23] χρειαν εχομεν μαρτυριας **f**$^{35}$ ℵA [97%] CP,RP,HF,TR || ~ 231 $P^{75}$B [3%] NU

**23.1** Και ανασταν ἁπαν το πληθος αυτων ηγαγον[1] αυτον επι τον Πιλατον.
2 Ηρξαντο δε κατηγορειν αυτου λεγοντες, "Τουτον εὑρομεν διαστρεφοντα το εθνος,[2] και
κωλυοντα Καισαρι φορους[3] διδοναι,[4] λεγοντα ἑαυτον Χριστον βασιλεα ειναι." 3 Ὁ δε
Πιλατος επηρωτησεν[5] αυτον λεγων, "Συ εἶ ὁ βασιλευς των Ιουδαιων?" Ὁ δε αποκριθεις
αυτω εφη, "Συ λεγεις." 4 Ὁ δε Πιλατος ειπεν προς τους αρχιερεις και τους οχλους, "Ουδεν
εὑρισκω αιτιον εν τω ανθρωπω τουτω." 5 Οἱ δε επισχυον, λεγοντες ὁτι "Ανασειει τον
λαον, διδασκων καθ' ὁλης της Ιουδαιας,[6] αρξαμενος απο της Γαλιλαιας ἑως ὡδε."

*[Jesus taken to Herod]*

**6** Πιλατος δε ακουσας Γαλιλαιαν[7] επηρωτησεν ει ὁ ανθρωπος Γαλιλαιος εστιν.
7 Και επιγνους ὁτι εκ της εξουσιας Ἡρωδου εστιν ανεπεμψεν αυτον προς Ἡρωδην, οντα
και αυτον εν Ἱεροσολυμοις εν ταυταις ταις ἡμεραις. 8 Ὁ δε Ἡρωδης ιδων τον Ιησουν
εχαρη λιαν, ἦν γαρ θελων εξ ἱκανου[8] ιδειν αυτον, δια το ακουειν πολλα[9] περι αυτου, και
ηλπιζεν τι[10] σημειον ιδειν ὑπ αυτου γινομενον. 9 Επηρωτα δε αυτον εν λογοις ἱκανοις·
αυτος δε ουδεν απεκρινατο αυτω. 10 Εἱστηκεισαν δε οἱ αρχιερεις και οἱ γραμματεις,
ευτονως κατηγορουντες αυτου. 11 Εξουθενησας δε αυτον[11] ὁ Ἡρωδης συν τοις στρατευμασιν
αυτου, και εμπαιξας περιβαλων αυτον[12] εσθητα λαμπραν, ανεπεμψεν αυτον τω Πιλατω.
12 (Εγενοντο δε φιλοι ὁ τε Πιλατος και ὁ Ἡρωδης[13] εν αυτη τη ἡμερα μετ' αλληλων·
προυπηρχον γαρ εν εχθρα οντες προς ἑαυτους.)[14]

*[Pilate sentences Jesus]*

**13** Πιλατος δε συγκαλεσαμενος τους αρχιερεις και τους αρχοντας και τον λαον
14 ειπεν προς αυτους: "Προσηνεγκατε μοι τον ανθρωπον τουτον ὡς αποστρεφοντα τον λαον,
και ιδου, εγω ενωπιον ὑμων ανακρινας ουδεν[15] εὑρον εν τω ανθρωπω τουτω αιτιον ὡν
κατηγορειτε κατ' αυτου. 15 Αλλ' ουδε Ἡρωδης, ανεπεμψα γαρ ὑμας προς αυτον,[16] και ιδου,
ουδεν αξιον θανατου εστιν πεπραγμενον αυτω. 16 Παιδευσας ουν αυτον απολυσω."
17 (Αναγκην δε ειχεν απολυειν αυτοις κατα ἑορτην ἑνα.)[17]
18 Ανεκραξαν[18] δε παμπληθει[19] λεγοντες, "Αιρε τουτον, απολυσον δε ἡμιν[20]
Βαραββαν"—19 ὁστις ἦν δια στασιν τινα γενομενην εν τη πολει και φονον βεβλημενος εις
φυλακην.[21] 20 Παλιν ουν[22] ὁ Πιλατος προσεφωνησεν,[23] θελων απολυσαι τον Ιησουν. 21 Οἱ

---

1 ηγαγον **f**$^{35}$ P$^{75}$ℵA,B,D [98%] RP,HF,NU || ηγαγεν [2%] CP,TR
2 εθνος **f**$^{35}$ A [60%] CP,RP,HF,TR || εθνος ημων P$^{75}$ℵB,D [40%] NU
3 καισαρι φορους **f**$^{35}$ (A) [95%] CP,RP,HF,TR || ~ 21 P$^{75}$ℵB [5%] NU
4 διδοναι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || διδοναι και P$^{75}$ℵB [5%] NU
5 επηρωτησεν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ηρωτησεν P$^{75}$ℵB [5%] NU
6 ιουδαιας **f**$^{35}$ P$^{75}$A [97%] CP,RP,HF,TR || ιουδαιας και ℵB [3%] NU
7 γαλιλαιαν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵB [5%] NU
8 θελων εξ ικανου **f**$^{35}$ A [90%] CP,RP,HF,TR || εξ ικανου χρονου θελων (W) [8%] || εξ ικανων χρονων θελων P$^{75}$ℵB(D)T [2%] NU
9 πολλα **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵB [5%] NU
10 τι *rell* || ετι CP
11 αυτον **f**$^{35}$ A,B [97%] CP,RP,HF,TR || αυτον και P$^{75}$ℵ [3%] [NU]
12 αυτον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵB [5%] NU
13 πιλατος και ο ηρωδης **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~ 4231 P$^{75}$ℵB [5%] NU
14 εαυτους **f**$^{35}$ A [95%] CP,RP,HF,TR || αυτους P$^{75}$ℵB [5%] NU
15 ουδεν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ουθεν P$^{75}$ℵB [5%] NU
16 ανεπεμψα γαρ υμας προς αυτον **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ανεπεμψεν γαρ αυτον προς ημας P$^{75}$ℵB [5%] NU
17 have verse 17 **f**$^{35}$ ℵ(D)W (97.7%) lat,syr,CP,RP,HF,TR || omit verse 17 P$^{75}$A,B,T (2%) cop,NU
18 ανεκραξαν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ανεκραγον P$^{75}$ℵB [5%] NU
19 παμπληθει *rell* || παμπληθη CP
20 ημιν **f**$^{35}$ A,D [70%] RP,HF || ημιν τον P$^{75}$ℵB [30%] CP,TR,NU
21 βεβλημενος εις φυλακην **f**$^{35}$ A [95%] CP,RP,HF,TR || βληθεις (-βληθεις ℵ) εν τη φυλακη P$^{75}$ℵB [5%] NU
22 ουν **f**$^{35}$ [95%] CP,RP,HF,TR || δε P$^{75}$ℵA,B [5%] NU
23 προσεφωνησεν **f**$^{35}$ A [95%] CP,RP,HF,TR || προσεφωνησεν αυτοις P$^{75}$ℵB [5%] NU

δε επεφωνουν λεγοντες, "Σταυρωσον, σταυρωσον[1] αυτον!" 22 Ὁ δε τριτον ειπεν προς αυτους: "Τί γαρ κακον εποιησεν οὑτος? Ουδεν αιτιον θανατου εὑρον εν αυτω· παιδευσας ουν αυτον απολυσω." 23 Οἱ δε επεκειντο φωναις μεγαλαις, αιτουμενοι αυτον σταυρωθηναι. Και κατισχυον αἱ φωναι αυτων και των αρχιερεων.[2] 24 Ὁ δε[3] Πιλατος επεκρινεν γενεσθαι το αιτημα αυτων. 25 Απελυσεν δε[4] τον δια στασιν και φονον βεβλημενον εις την[5] φυλακην, ὃν ητουντο· τον δε Ιησουν παρεδωκεν τω θεληματι αυτων.

*[Jesus is crucified]*

**26** Και ὡς απηγαγον αυτον, επιλαβομενοι Σιμωνος τινος Κυρηναιου ερχομενου[6] απ' αγρου επεθηκαν αυτω τον σταυρον φερειν οπισθεν του Ιησου. 27 Ηκολουθει δε αυτω πολυ πληθος του λαου και γυναικων αἱ και[7] εκοπτοντο και εθρηνουν αυτον. 28 Στραφεις δε προς αυτας ὁ Ιησους[8] ειπεν: "Θυγατερες Ἱερουσαλημ, μη κλαιετε επ' εμε, πλην εφ' ἑαυτας κλαιετε και επι τα τεκνα ὑμων· 29 ὁτι ιδου, ερχονται ἡμεραι εν αἱς ερουσιν, 'Μακαριαι αἱ στειραι, και[9] κοιλιαι αἳ ουκ εγεννησαν και μαστοι οἳ ουκ εθηλασαν.'[10] 30 Τοτε αρξονται λεγειν τοις ορεσιν, 'Πεσετε εφ' ἡμας!' και τοις βουνοις, 'Καλυψατε ἡμας!' 31 Ὁτι ει εν τω ὑγρω ξυλω ταυτα ποιουσιν, εν τω ξηρω τί γενηται?"

32 Ηγοντο δε και ἑτεροι δυο κακουργοι[11] συν αυτω αναιρεθηναι. 33 Και ὁτε απηλθον[12] επι τον τοπον τον καλουμενον Κρανιον, εκει εσταυρωσαν αυτον και τους κακουργους, ὃν μεν εκ δεξιων, ὃν δε εξ αριστερων.

34 Ὁ δε Ιησους ελεγεν, "Πατερ, αφες αυτοις, ου γαρ οιδασιν τί ποιουσιν."[13] Διαμεριζομενοι δε τα ἱματια αυτου εβαλον κληρον.[14] 35 Και εἱστηκει ὁ λαος θεωρων. Εξεμυκτηριζον δε και οἱ αρχοντες συν αυτοις[15] λεγοντες, "Αλλους εσωσεν, σωσατω ἑαυτον, ει οὑτος εστιν ὁ Χριστος, ὁ του Θεου εκλεκτος."[16] 36 Ενεπαιζον[17] δε αυτω και οἱ στρατιωται, προσερχομενοι και[18] οξος προσφεροντες αυτω, 37 και λεγοντες, "Ει συ εἶ ὁ βασιλευς των Ιουδαιων, σωσον σεαυτον."

38 Ἠν δε και[19] επιγραφη γεγραμμενη επ' αυτω[20] γραμμασιν Ἑλληνικοις και Ῥωμαικοις και Ἑβραικοις:[21]

ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ[22]

---

[1] σταυρωσον σταυρωσον **f35** A [95%] CP,RP,HF,TR || σταυρου σταυρου P75ℵB [5%] NU
[2] και των αρχιερεων **f35** A,D,W (99.4%) CP,RP,HF,TR || --- P75ℵB (0.6%) NU
[3] ο δε **f35** A [95%] CP,RP,HF,TR || και P75ℵB [5%] NU
[4] δε **f35** P75ℵA,B,D [70%] CP,RP,HF,NU || δε αυτοις [30%] TR
[5] την **f35** P75A,C [98%] CP,RP,HF,TR || --- ℵB [2%] NU
[6] σιμωνος τινος κυρηναιου ερχομενου **f35** (A) [95%] CP,RP,HF || σιμωνος τινος κυρηναιου του ερχομενου [3%] TR || σιμωνα τινα κυρηναιον ερχομενον P75ℵB(C) [2%] NU
[7] αι και **f35** [95%] CP,RP,HF,TR || αι P75A,B [5%] NU || --- ℵ
[8] προς αυτας ο ιησους **f35** A [95%] CP,RP,HF,TR[NU] || ~3412 C [2%] || 124 P75ℵB [3%] NU
[9] και **f35** P75A [95%] CP,RP,HF,TR || και αι ℵB,C [5%] NU
[10] εθηλασαν **f35** A [95%] CP,RP,HF,TR || εθρεψαν P75ℵB [5%] NU
[11] δυο κακουργοι **f35** A,C [97%] CP,RP,HF,TR || ~21 P75ℵB [3%] NU
[12] απηλθον **f35** A [95%] CP,RP,HF,TR || ηλθον P75ℵB [5%] NU
[13] ο δε ιησους ελεγεν πατερ αφες αυτοις ου γαρ οιδασιν τι ποιουσιν **f35** ℵ(A)C (99%) lat,syr,Diat,CP,RP,HF,TR[NU] || --- P75B,D,W (1%) cop
[14] κληρον **f35** P75ℵB,C [99%] CP,RP,HF,TR || κληρους A [1%] NU
[15] συν αυτοις **f35** A [95%] CP,RP,HF,TR || --- P75ℵB,C [5%] NU
[16] ο του θεου εκλεκτος **f35** A [95%] CP,RP,HF,TR || ~1423 C [2%] || ~2314 B [2%] NU || ~12314 ℵ [1%] || ο υιος του θεου ο εκλεκτος P75
[17] ενεπαιζον **f35** (A)(C) [95%] CP,RP,HF,TR || ενεπαιξαν P75(ℵ)B [5%] NU
[18] και **f35** [95%] CP,RP,HF,TR || --- P75ℵA,B,C [5%] NU
[19] και **f35** P75ℵA,B [90%] RP,HF,TR,NU || και η C,D [10%] CP
[20] γεγραμμενη επ αυτω **f35** [95%] lat^pt,syr,CP,RP,HF,TR || ~231 C [2%] || 23 P75ℵB [2%] cop,NU || επιγεγραμμενη επ αυτω A,D [1%] lat^pt
[21] γραμμασιν ελληνικοις και ρωμαικοις και εβραικοις **f35** (ℵ)A [97%] CP,RP,HF,TR || --- P75B,C [3%] NU
[22] ουτος εστιν ο βασιλευς των ιουδαιων **f35** A [95%] CP,RP,HF,TR || ~34561 P75ℵB [4%] NU || 3456 C [1%]

39 Εἱς δε των κρεμασθεντων κακουργων εβλασφημει αυτον λεγων, "Ει[1] συ εἶ ὁ
Χριστος, σωσον σεαυτον και ἡμας." 40 Αποκριθεις δε ὁ ἑτερος επετιμα[2] αυτω λεγων,[3]
"Ουδε φοβη συ τον Θεον, ὁτι εν τω αυτω κριματι εἶ? 41 Και ἡμεις μεν δικαιως, αξια γαρ
ὧν επραξαμεν απολαμβανομεν· οὗτος δε ουδεν ατοπον επραξεν." 42 Και ελεγεν τω[4] Ιησου,
"Μνησθητι μου, Κυριε,[5] ὁταν ελθης εν τη βασιλεια[6] σου." 43 Και ειπεν αυτω ὁ Ιησους,[7]
"Αμην λεγω σοι,[8] σημερον μετ' εμου εση εν τω Παραδεισω."

*[Jesus dismisses His spirit]*

**44** Ἠν δε[9] ὡσει ὡρα ἑκτη, και σκοτος εγενετο εφ' ὁλην την γην ἑως ὡρας ενατης.[10]
45 Και εσκοτισθη ὁ ἡλιος,[11] και εσχισθη[12] το καταπετασμα του ναου μεσον. 46 Και
φωνησας φωνη μεγαλη ὁ Ιησους ειπεν, "Πατερ, εις χειρας σου παραθησομαι[13] το πνευμα
μου." Και ταυτα[14] ειπων εξεπνευσεν.

*[Various reactions]*

**47** Ιδων δε ὁ ἑκατονταρχος[15] το γενομενον εδοξασεν[16] τον Θεον λεγων, "Οντως ὁ
ανθρωπος οὗτος δικαιος ἦν." 48 Και παντες οἱ συμπαραγενομενοι οχλοι επι την θεωριαν
ταυτην, θεωρουντες τα γενομενα,[17] τυπτοντες ἑαυτων[18] τα στηθη ὑπεστρεφον. 49
Εἱστηκεισαν δε παντες οἱ γνωστοι αυτου[19] μακροθεν[20] και γυναικες αἱ συνακολουθησασαι[21]
αυτω απο της Γαλιλαιας, ὁρωσαι ταυτα.

*[Jesus' body is buried]*

**50** Και ιδου, ανηρ ονοματι Ιωσηφ, βουλευτης ὑπαρχων,[22] ανηρ αγαθος και δικαιος
51 (οὗτος ουκ ἦν συγκατατεθειμενος τη βουλη και τη πραξει αυτων), απο Ἁριμαθαιας
πολεως των Ιουδαιων, ὃς[23] προσεδεχετο και αυτος[24] την βασιλειαν του Θεου, 52 οὗτος
προσελθων τω Πιλατω ητησατο το σωμα του Ιησου. 53 Και καθελων αυτο[25] ενετυλιξεν αυτο
σινδονι, και εθηκεν αυτο[26] εν μνηματι λαξευτω, οὗ ουκ ἦν ουδεπω ουδεις[27] κειμενος. 54 Και
ἡμερα ἦν Παρασκευη·[28] σαββατον[29] επεφωσκεν. 55 Κατακολουθησασαι δε[30] γυναικες, αἱτινες

---

[1] ει **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ουχι P$^{75}$ℵB,C [5%] NU
[2] επετιμα **f**$^{35}$ A [95%] CP,RP,HF,TR || επετιμων P$^{75}$ℵB,C [5%] NU
[3] λεγων **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εφη P$^{75}$ℵB,C [5%] NU
[4] τω **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵB,C [5%] NU
[5] κυριε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵB,C [5%] NU
[6] εν τη βασιλεια **f**$^{35}$ ℵA,C,W [99%] CP,RP,HF,TR || εις την βασιλειαν P$^{75}$B [1%] lat,NU (D is wild.)
[7] ο ιησους **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || --- P$^{75}$ℵB [3%] NU
[8] λεγω σοι **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || ~ 21 P$^{75}$ℵB [3%] NU
[9] ην δε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || και ην ℵ [1%] || και ην ηδη P$^{75}$B,C [4%] NU
[10] ενατης **f**$^{35}$ P$^{75}$ℵA,B,C,D [70%] CP,RP,HF,NU || εννατης [30%] TR
[11] και εσκοτισθη ο ηλιος **f**$^{35}$ A(D) (97.6%) CP,RP,HF,TR || του ηλιου εκλειποντος B (0.5%) || του ηλιου εκλιποντος P$^{75}$ℵC (0.4%) NU || a conflation (1.2%)
[12] και εσχισθη **f**$^{35}$ A [95%] CP,RP,HF,TR || εσχισθη δε P$^{75}$ℵB,C [5%] NU
[13] παραθησομαι **f**$^{35}$ [95%] CP,RP,HF,TR || παρατιθημαι P$^{75}$ℵA,B,C [5%] NU
[14] και ταυτα **f**$^{35}$ A [95%] CP,RP,HF,TR || τουτο δε P$^{75}$ℵB,C [5%] NU
[15] εκατονταρχος **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || εκατονταρχης P$^{75}$ℵB [3%] NU
[16] εδοξασεν **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || εδοξαζεν P$^{75}$ℵB [3%] NU
[17] θεωρουντες τα γενομενα **f**$^{35}$ [95%] CP,RP,HF,TR || θεωρησαντες τα γενομενα P$^{75}$ℵB,C [4%] NU || --- A [1%]
[18] εαυτων **f**$^{35}$ [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵA,B,C [5%] NU
[19] αυτου **f**$^{35}$ ℵC [97%] CP,RP,HF,TR || αυτω P$^{75}$A,B [3%] NU
[20] μακροθεν **f**$^{35}$ A,C [97%] CP,RP,HF,TR || απο μακροθεν P$^{75}$ℵB [3%] NU
[21] συνακολουθησασαι **f**$^{35}$ A [95%] CP,RP,HF,TR || συνακολουθουσαι P$^{75}$ℵB,C [5%] NU
[22] υπαρχων **f**$^{35}$ A,B [97%] CP,RP,HF,TR || υπαρχων και P$^{75}$ℵC [3%] [NU]
[23] ος **f**$^{35}$ P$^{75}$ℵB,C [25%] CP,NU || ος και A,D [75%] RP,HF,TR
[24] και αυτος **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵB,C [5%] NU
[25] αυτο **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- P$^{75}$ℵB,C [5%] NU
[26] αυτο **f**$^{35}$ P$^{75}$A [95%] CP,RP,HF,TR || αυτον ℵB,C [5%] NU
[27] ουδεπω ουδεις **f**$^{35}$ [95%] CP,RP,HF,TR || ~ 21 ℵC [3%] || ουδεις ουπω P$^{75}$A,B [2%] NU
[28] παρασκευη **f**$^{35}$ A [95%] CP,RP,HF,TR || παρασκευης P$^{75}$ℵB,C [5%] NU
[29] σαββατον **f**$^{35}$ A [75%] CP,RP,HF || και σαββατον P$^{75}$ℵB,C,D [25%] TR,NU
[30] δε **f**$^{35}$ ℵA,C [70%] CP,RP,HF || δε και [25%] TR || δε αι P$^{75}$B [5%] NU

ησαν συνεληλυθυιαι αυτω εκ της Γαλιλαιας,[1] εθεασαντο το μνημειον και ὡς ετεθη το σωμα
αυτου. 56 Ὑποστρεψασαι δε ἡτοιμασαν αρωματα και μυρα.

*["He is not here, but is risen!"]*

**24.1** Και το μεν σαββατον ἡσυχασαν κατα την εντολην. Τη δε μια των σαββατων,
ορθρου βαθεος,[2] ηλθον επι το μνημα[3] φερουσαι ἃ ἡτοιμασαν αρωματα, και τινες συν
αυταις.[4] 2 Εὑρον δε τον λιθον αποκεκυλισμενον απο του μνημειου. 3 Και εισελθουσαι[5] ουχ
εὑρον το σωμα του Κυριου Ιησου. 4 Και εγενετο εν τω διαπορεισθαι[6] αυτας περι τουτου,
και ιδου, ανδρες δυο[7] επεστησαν αυταις εν εσθησεσιν αστραπτουσαις.[8] 5 Εμφοβων δε
γενομενων αυτων και κλινουσων το προσωπον[9] εις την γην, ειπον προς αυτας: "Τί ζητειτε
τον ζωντα μετα των νεκρων? 6 Ουκ εστιν ὡδε, αλλ'[10] ηγερθη! Μνησθητε ὡς ελαλησεν ὑμιν
ετι ων εν τη Γαλιλαια, 7 λεγων ὁτι 'Δει τον Υἱον του Ανθρωπου[11] παραδοθηναι εις χειρας
ανθρωπων ἁμαρτωλων, και σταυρωθηναι, και τη τριτη ἡμερα αναστηναι'." 8 Και
εμνησθησαν των ῥηματων αυτου.

*[The women report]*

**9** Και ὑποστρεψασαι απο του μνημειου, απηγγειλαν ταυτα παντα[12] τοις ἑνδεκα και
πασιν τοις λοιποις. 10 Ησαν δε ἡ Μαγδαληνη Μαρια και Ιωαννα και Μαρια ἡ[13] Ιακωβου,
και αἱ λοιπαι συν αυταις, αἳ[14] ελεγον προς τους αποστολους ταυτα. 11 Και εφανησαν
ενωπιον αυτων ὡσει ληρος τα ῥηματα αυτων,[15] και ηπιστουν αυταις. 12 Ὁ δε Πετρος
αναστας εδραμεν επι το μνημειον, και παρακυψας βλεπει τα οθονια κειμενα[16] μονα· και
απηλθεν προς ἑαυτον θαυμαζων το γεγονος.

*[Jesus appears to two from Emmaus]*

**13** Και ιδου, δυο εξ αυτων ησαν πορευομενοι εν αυτη τη ἡμερα[17] εις κωμην
απεχουσαν σταδιους ἑξηκοντα απο Ἱερουσαλημ, ᾗ ονομα Εμμαους. 14 Και αυτοι ὡμιλουν
προς αλληλους περι παντων των συμβεβηκοτων τουτων. 15 Και εγενετο εν τω ὁμιλειν
αυτους και συζητειν, και αυτος ὁ[18] Ιησους εγγισας συνεπορευετο αυτοις. 16 Οἱ δε οφθαλμοι
αυτων εκρατουντο του μη επιγνωναι αυτον. 17 Ειπεν δε προς αυτους, "Τίνες οἱ λογοι
οὑτοι οὑς αντιβαλλετε προς αλληλους περιπατουντες, και εστε[19] σκυθρωποι?"
18 Αποκριθεις δε ὁ[20] εἱς ᾧ ονομα[21] Κλεοπας, ειπεν προς αυτον, "Συ μονος
παροικεις[22] Ἱερουσαλημ, και ουκ εγνως τα γενομενα εν αυτη εν ταις ἡμεραις ταυταις?"

---

[1] αυτω εκ της γαλιλαιας **f³⁵** A [95%] CP,RP,HF,TR || ~ 2341 P⁷⁵ℵB,Cᵛ [5%] NU

[2] βαθεος **f³⁵** [40%] TR || βαθεως P⁷⁵ℵA,B,C,D [60%] CP,RP,HF,NU

[3] ηλθον επι το μνημα **f³⁵** A [95%] CP,RP,HF,TR || ~ 2341 B [2%] NU || επι το μνημειον ηλθον P⁷⁵ℵ [2%] || ηλθον επι το μνημειον C [1%]

[4] και τινες συν αυταις **f³⁵** A [95%] CP,RP,HF,TR || --- P⁷⁵ℵB,C [5%] NU

[5] και εισελθουσαι **f³⁵** A [95%] CP,RP,HF,TR || εισελθουσαι δε P⁷⁵ℵB,C [5%] NU

[6] διαπορεισθαι **f³⁵** A [95%] CP,RP,HF,TR || απορεισθαι P⁷⁵ℵB,C [5%] NU

[7] ανδρες δυο **f³⁵** P⁷⁵ℵA,B,C [90%] CP,RP,HF,NU || ~ 21 D [10%] TR

[8] εσθησεσιν αστραπτουσαις **f³⁵** (A)(C) [97%] CP,RP,HF,TR || εσθητι αστραπτουση P⁷⁵ℵB [3%] NU

[9] το προσωπον **f³⁵** A [95%] CP,RP,HF,TR || τα προσωπα P⁷⁵ℵB,C [5%] NU

[10] αλλ **f³⁵** A [95%] CP,RP,HF,TR || αλλα P⁷⁵ℵB,C [5%] NU

[11] οτι δει τον υιον του ανθρωπου **f³⁵** A [95%] CP,RP,HF,TR || ~ 345612 P⁷⁵ℵB(Cᵛ) [5%] NU

[12] ταυτα παντα **f³⁵** P⁷⁵A,B [75%] CP,RP,HF,TR,NU || ~ 21 ℵD [25%]

[13] η **f³⁵** P⁷⁵ℵA,B,D,W [40%] NU || --- 66,201,1247,2399 [60%] CP,RP,HF,TR

[14] αι **f³⁵** [60%] CP,RP,HF,TR || --- P⁷⁵ℵA,B,D [40%] NU

[15] αυτων **f³⁵** A [95%] CP,RP,HF,TR || ταυτα P⁷⁵ℵB [5%] NU

[16] κειμενα **f³⁵** A [95%] CP,RP,HF,TR || --- P⁷⁵ℵB [5%] NU

[17] ησαν πορευομενοι εν αυτη τη ημερα (ωρα A) **f³⁵** A [95%] CP,RP,HF,TR || ~ 345612 P⁷⁵B [4%] NU || εν τη αυτη ημερα ησαν δε πορευομενοι ℵ [1%]

[18] ο **f³⁵** [95%] CP,RP,HF,TR || --- P⁷⁵ℵA,B [5%] NU

[19] εστε **f³⁵** [95%] CP,RP,HF,TR || εσταθησαν P⁷⁵ℵAᵛ,B [5%] NU

[20] ο **f³⁵** A [95%] CP,RP,HF,TR || --- P⁷⁵ℵB [5%] NU

[21] ω ονομα **f³⁵** A [95%] CP,RP,HF,TR || ονοματι P⁷⁵ℵB [5%] NU

[22] παροικεις **f³⁵** P⁷⁵ℵA,B,D [75%] CP,RP,HF,NU || παροικεις εν [25%] TR

19 Και ειπεν αυτοις, "Ποια?" Οἱ δε ειπον αυτω: "Τα περι Ιησου του Ναζωραιου,[1] ὡς[2] εγενετο ανηρ προφητης δυνατος εν εργω και λογω εναντιον του Θεου και παντος του λαου, 20 ὁπως τε παρεδωκαν αυτον οἱ αρχιερεις και οἱ αρχοντες ἡμων εις κριμα θανατου, και εσταυρωσαν αυτον. 21 Ἡμεις δε ηλπιζομεν ὁτι αυτος εστιν ὁ μελλων λυτρουσθαι τον Ισραηλ. Αλλα γε[3] συν πασιν τουτοις τριτην ταυτην ἡμεραν αγει σημερον[4] αφ' οὗ ταυτα εγενετο. 22 Αλλα και γυναικες τινες εξ ἡμων εξεστησαν ἡμας· γενομεναι ορθριαι[5] επι το μνημειον, 23 και μη εὑρουσαι το σωμα αυτου, ηλθον λεγουσαι και οπτασιαν αγγελων ἑωρακεναι, οἳ λεγουσιν αυτον ζην. 24 Και απηλθον τινες των συν ἡμιν επι το μνημειον και εὑρον οὑτως καθως και αἱ γυναικες ειπον· αυτον δε ουκ ειδον."

25 Και αυτος ειπεν προς αυτους: "Ὠ ανοητοι και βραδεις τη καρδια του πιστευειν επι πασιν οἷς ελαλησαν οἱ προφηται! 26 Ουχι ταυτα εδει παθειν τον Χιστον και εισελθειν εις την δοξαν αυτου?" 27 Και αρξαμενος απο Μωσεως[6] και απο παντων των προφητων διηρμηνευεν[7] αυτοις εν πασαις ταις Γραφαις τα περι ἑαυτου.

28 Και ηγγισαν εις την κωμην οὗ επορευοντο, και αυτος προσεποιειτο[8] πορρωτερω[9] πορευεσθαι. 29 Και παρεβιασαντο αυτον λεγοντες, "Μεινον μεθ' ἡμων, ὁτι προς ἑσπεραν εστιν και κεκλικεν[10] ἡ ἡμερα." Και εισηλθεν του μειναι συν αυτοις. 30 Και εγενετο εν τω κατακλιθηναι αυτον μετ' αυτων, λαβων τον αρτον ευλογησεν, και κλασας επεδιδου αυτοις. 31 Αυτων δε διηνοιχθησαν οἱ οφθαλμοι και επεγνωσαν αυτον· και αυτος αφαντος εγενετο απ' αυτων. 32 Και ειπον προς αλληλους, "Ουχι ἡ καρδια ἡμων καιομενη ἦν εν ἡμιν[11] ὡς ελαλει ἡμιν εν τη ὁδω, και[12] ὡς διηνοιγεν ἡμιν τας Γραφας?"

*[The two report]*

**33** Και αναστaντες αυτη τη ὡρα ὑπεστρεψαν εις Ἱερουσαλημ, και εὑρον συνηθροισμενους[13] τους ἑνδεκα και τους συν αυτοις, 34 λεγοντας ὁτι "Ηγερθη ὁ Κυριος οντως[14] και ωφθη Σιμωνι!" 35 Και αυτοι εξηγουντο τα εν τη ὁδω, και ὡς εγνωσθη αυτοις εν τη κλασει του αρτου.

*[Jesus appears to the disciples]*

**36** Ταυτα δε αυτων λαλουντων, και[15] αυτος ὁ Ιησους[16] εστη εν μεσω αυτων, και λεγει αυτοις, "Ειρηνη ὑμιν." 37 Πτοηθεντες δε και εμφοβοι γενομενοι εδοκουν πνευμα θεωρειν. 38 Και ειπεν αυτοις: "Τί τεταραγμενοι εστε?" και "Δια τί διαλογισμοι αναβαινουσιν εν ταις καρδιαις[17] ὑμων? 39 Ιδετε τας χειρας μου και τους ποδας μου, ὁτι αυτος εγω ειμι.[18] Ψηλαφησατε με και ιδετε, ὁτι πνευμα σαρκα και οστεα ουκ εχει, καθως εμε θεωρειτε εχοντα." 40 Και τουτο ειπων επεδειξεν[19] αυτοις τας χειρας και τους ποδας. 41 Ετι δε απιστουντων αυτων απο της χαρας και θαυμαζοντων, ειπεν αυτοις, "Εχετε τί

---

[1] ναζωραιου **f35** A [99.4%] CP,RP,HF,TR || ναζαρηνου P75ℵB [0.6%] NU
[2] ως **f35** [25%] || ος P75ℵA,B,D [75%] CP,RP,HF,TR,NU
[3] γε **f35** A [95%] CP,RP,HF,TR || γε και P75ℵB [5%] NU
[4] σημερον **f35** A [95%] CP,RP,HF,TR || --- P75ℵB [5%] NU
[5] ορθριαι **f35** [95%] CP,RP,HF,TR || ορθριναι P75ℵA,B [5%] NU
[6] μωσεως **f35** A [95%] CP,RP,HF,TR || μωυσεως P75ℵB [5%] NU
[7] διηρμηνευεν **f35** [95%] CP,RP,HF,TR || διερμηνευεν A [2%] || διερμηνευειν ℵ [1%] || διερμηνευσεν P75B [2%] NU
[8] προσεποιειτο **f35** [95%] CP,RP,HF,TR || προσεποιησατο P75ℵA,B [5%] NU
[9] πορρωτερω **f35** [95%] CP,RP,HF,TR [πορρωτερωτερω ℵ] || πορρωτερον P75A,B [5%] NU
[10] κεκλικεν **f35** A [95%] CP,RP,HF,TR || κεκλικεν ηδη P75ℵB [5%] NU
[11] εν ημιν **f35** ℵA,W [99%] CP,RP,HF,TR[NU] || --- P75B,D [1%]
[12] και **f35** A [95%] CP,RP,HF,TR || --- P75ℵB [5%] NU
[13] συνηθροισμενους **f35** A [95%] CP,RP,HF,TR || ηθροισμενους P75ℵB [5%] NU
[14] ηγερθη ο κυριος οντως **f35** A [95%] CP,RP,HF,TR || ~ 4123 P75ℵB [5%] NU
[15] και **f35** [20%] CP || --- P75ℵA,B,D [80%] RP,HF,TR,NU (The και is emphatic.)
[16] ο ιησους **f35** A [95%] CP,RP,HF,TR || --- P75ℵB [5%] NU
[17] ταις καρδιαις **f35** ℵA [97%] CP,RP,HF,TR || τη καρδια P75B [3%] NU
[18] αυτος εγω ειμι **f35** A [95%] CP,RP,HF,TR || ~ 231 P75ℵB [5%] NU
[19] επεδειξεν **f35** A [95%] CP,RP,HF,TR || εδειξεν P75ℵB [5%] NU

βρωσιμον ενθαδε?” 42 Οἱ δε επεδωκαν αυτω ιχθυος οπτου μερος, και απο μελισσιου[1]
κηριου.[2] 43 Και λαβων ενωπιον αυτων εφαγεν.
44 Ειπεν δε αυτοις,[3] “Οὑτοι οἱ λογοι[4] οὑς ελαλησα προς ὑμας ετι ων συν ὑμιν, ὁτι
δει πληρωθηναι παντα τα γεγραμμενα εν τω Νομω Μωσεως[5] και[6] Προφηταις και Ψαλμοις
περι εμου.” 45 Τοτε διηνοιξεν αυτων τον νουν του συνιεναι τας Γραφας. 46 Και ειπεν
αυτοις ὁτι “Οὑτως γεγραπται, και οὑτως εδει[7] παθειν τον Χριστον και αναστηναι εκ
νεκρων τη τριτη ἡμερα, 47 και κηρυχθηναι επι τω ονοματι αυτου μετανοιαν και[8] αφεσιν
ἁμαρτιων εις παντα τα εθνη, αρξαμενον[9] απο Ἱερουσαλημ. 48 Ὑμεις δε[10] εστε μαρτυρες[11]
τουτων. 49 Και ιδου,[12] εγω αποστελλω την επαγγελιαν του Πατρος μου εφ’ ὑμας· ὑμεις δε
καθισατε εν τη πολει Ἱερουσαλημ[13] ἑως οὗ ενδυσησθε δυναμιν εξ ὑψους.[14]

*[Jesus ascends to Heaven]*

**50** Εξηγαγεν δε αυτους εξω[15] ἑως εις[16] Βηθανιαν, και επαρας τας χειρας αυτου
ευλογησεν αυτους. 51 Και εγενετο εν τω ευλογειν αυτον αυτους, διεστη απ’ αυτων και
ανεφερετο εις τον ουρανον. 52 Και αυτοι προσκυνησαντες αυτον, ὑπεστρεψαν εις
Ἱερουσαλημ μετα χαρας μεγαλης, 53 και ησαν δια παντος εν τω ἱερω αινουντες και[17]
ευλογουντες τον Θεον. Αμην.[18,19]

---

[1] μελισσιου *rell* || μελισσειου CP

[2] και απο μελισσιου κηριου **f**$^{35}$ [99.3%] (lat)syr,bo,Diat,CP,RP,HF,TR || --- $P^{75}$ℵA,B,D,W [0.7%] sa,NU

[3] αυτοις **f**$^{35}$ A [95%] CP,RP,HF,TR || προς αυτους $P^{75}$ℵB [5%] NU

[4] λογοι **f**$^{35}$ ℵ [95%] CP,RP,HF,TR || λογοι μου $P^{75}$A,B [5%] NU

[5] μωσεως **f**$^{35}$ A [95%] CP,RP,HF,TR || μωυσεως $P^{75}$ℵB [5%] NU

[6] και **f**$^{35}$ A [95%] CP,RP,HF,TR || και τοις $P^{75}$B [4%] NU || και εν τοις ℵ [1%]

[7] και ουτως εδει **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB [5%] NU

[8] και **f**$^{35}$ A,C,D,W [99.5%] CP,RP,HF,TR || εις $P^{75}$ℵB [0.5%] NU

[9] αρξαμενον **f**$^{35}$ $P^{75}$A [98.9%] CP,RP,HF,TR || αρξαμενοι ℵB,C [1.1%] NU

[10] δε **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB,C [5%] NU

[11] εστε μαρτυρες **f**$^{35}$ ℵ(A) [97%] CP,RP,HF,TR || ~21 C [1%] || 2 $P^{75}$B [2%] NU

[12] ιδου **f**$^{35}$ A,B,C(W) [98%] CP,RP,HF,TR[NU] || --- $P^{75}$ℵ,D [2%]

[13] ιερουσαλημ **f**$^{35}$ A [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB,C [5%] NU

[14] δυναμιν εξ υψους **f**$^{35}$ A [95%] CP,RP,HF,TR || ~231 $P^{75}$ℵB,C [5%] NU

[15] εξω **f**$^{35}$ A [95%] CP,RP,HF,TR[NU] || --- $P^{75}$ℵB,C [5%]

[16] εις **f**$^{35}$ A [95%] CP,RP,HF,TR || προς $P^{75}$ℵB,C [5%] NU

[17] αινουντες και **f**$^{35}$ A(D)W [95%] CP,RP,HF,TR || --- $P^{75}$ℵB,C [5%] NU

[18] αμην **f**$^{35}$ A,B [97%] CP,RP,HF,TR || --- $P^{75}$ℵC,D,W [3%] NU

[19] In the colophons, **f**$^{35}$ [50%] have, “published fifteen years after the ascension of Christ”. For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**$^{35}$ goes back at least to the 3rd century. If this information is correct, then Luke was ‘published’ in 45/46 AD. The same sources have Matthew published seven years earlier (38/39) and Mark five years earlier (40/41), while John was ‘published’ thirty-two years after the ascension, or 61/62 AD. Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or ‘correcting’ something that they remembered differently.